ἔτικτεν οὐκ ἔκπληξιν ἀλλ᾽ ἐκπληξίαν·
bore not amazement but stupefaction
ὃς τῶν τεθέντων καὶ πεπηγμένων ὅρων
who of-the laid-down and fixed boundaries
ἀνθοροθετῆσαι τὰς βάσεις ἠπείγετο·
to-set-counter-boundaries the bases hastened
ὃς πρὸς τοσαύτην ἦλθεν ἐκτροπὴν ὅτι
who to so-great came deviation that
τὸ σεπτὸν αὐτῷ καὶ φίλον καὶ πάτριον
the revered to-him and dear and ancestral
ὕδωρ ἐμαστίγωσεν, οὐκ ἔχων ὅθεν
water he-whipped not having whence
τὴν λύτταν αὐτοῦ τὴν ἀνάπτουσαν σβέσει.
the madness his the kindling he-will-quench
καὶ ταῦτα ποίας αὐτὸν ὠθούσης βίας;
and these-things what him pushing violence
ὕδωρ ὅπως τέμνοιτο χερσαίῳ δρόμῳ
water that might-be-cut by-a-land course
καὶ γῆ περᾠτο τῷ θαλαττίῳ πόρῳ,
and land might-be-crossed by-the sea passage

ὅπως γε θᾶττον εὐκολωτέραν τότε
that indeed quicker easier then
ὁδὸν διελθὼν τοὺς ἐναντίους φθάσοι.
a-road having-gone-through the opponents he-might-forestall
σμικροῦ δὲ πόνου ῥαδίου τε πράγματος
of-small and toil of-easy and thing
πόνους τοσούτους εἰς μάτην ἠλλάξατο.
toils so-many to vain he-exchanged
σὺ δέ, κράτιστε, μὴ ταράξας τὰς φύσεις,
you but most-mighty not having-troubled the natures
μηδ' αὖ σαλεύσας τοὺς πεπηγμένους ὅρους,
nor again having-shaken the fixed boundaries
βαίνων ἀμόχθως καὶ βαδίζων ἠρέμα
going without-toil and walking quietly
τοὺς σοὺς παρῆλθες εὐχερῶς ἐναντίους.
the your you-passed easily opponents
Οὐδεὶς δὲ λοιπὸν εὔπορος τῷ βαρβάρῳ
no and henceforth easy for-the barbarian
ἐν ταῖς μερίμναις τῆς ἀνάγκης ἦν πόρος.
in the cares of-the necessity was passage
ἐξ ἀπορίας εἰς ταπείνωσιν τότε
from perplexity into humiliation then
τὸν ὄγκον ἀντέστρεψε τῆς ἐπάρσεως.
the bulk he-turned-back of-the exaltation
πῇ μὲν γὰρ αὐτὸν ἠρεθισμένη τότε
here indeed for him excited then
γνώμη κατεῖχε, καὶ κατόπιν τοῦ σοῦ κράτους
a-judgment held and behind the your might
παλινδρομεῖν ἔπειθεν εἰς ἀνάρροπον·
to-run-back persuaded into the-opposite-inclination

ἀλλ᾽ εὐλαβεῖτο τοῦ σκοποῦ τἀναντία,
but he-was-wary of-the aim the-contrary
βλέπων ἀδήλους πανταχοῦ τὰς ἐκβάσεις.
seeing unclear everywhere the outcomes
πῇ δ᾽ ἐξ ἀνάγκης τὰς Κιλικίας εἰσόδους
there and from necessity the Cilician entrances
καὶ τὴν δυσάντη καὶ κατεστενωμένην
and the steep and narrowed
κρημνοῖς τε καὶ φάραγξι τῆς ὁδοῦ θέσιν
with-cliffs both and ravines of-the road position
ἀνατρέχειν ὥρμησεν· ἀλλὰ κἀνθάδε
to-run-up he-set-out but even-here
ἀνατροπὴ κατεῖχε τὴν γνώμην πάλιν.
overturning held the judgment again
τῆς Ἀρμενίας γὰρ αὐτὸν ἡ διέξοδος
— of-Armenia for him the passage
ἔδακνε, μήπως ἐντεῦθεν εἰσβαλὼν φθάσῃς
bit lest thence having-invaded you-might-forestall
καὶ πᾶσαν ἄρδην συνταράξῃς Περσίδα.
and all utterly you-might-throw-into-confusion Persia
καὶ πολλὰ λυττῶν τοῖς νόθοις βουλεύμασι
and much raving with-the bastard counsels
λογισμὸν εἶχεν οὐδαμοῦ βεβηκότα,
a-reasoning he-had nowhere standing-firm
ἀλλ᾽ ὥσπερ εὐκύλιστος ἄστατος λίθος
but as a-well-rolling unstable stone
ἐπείγεται μὲν πρὸς κατάρροπον βάθος,
hastens indeed toward downward depth
εἰς δ᾽ ἀντέρεισμα προσβαλὼν ἀνετράπη,
into but a-resistance having-struck is-overturned

οὕτως ὀλισθήσαντα τῶν βουλευμάτων
thus having-slipped of-the counsels
τὰ πολλὰ τοῦδε τοῦ λίθου κυλίσματα
the many of-this the stone rollings
ταῖς ἀστατούσαις ἐκφοραῖς ὠθούμενα
by-the unstable carryings being-pushed
γνώμαις ἀνετρέποντο ταῖς ἐναντίαις.
by-judgments were-overturned by-the contrary
Ὅμως ὑπήχθη, καὶ κατόπιν, κυνὸς δίκην
yet he-was-led-on and behind of-a-dog like
σειραῖς δεθέντος, ἐξ ἀνάγκης εἵλκετο.
with-cords bound from necessity was-dragged
εἰκῇ δὲ μοχθῶν καὶ μάτην πονούμενος
at-random and laboring and in-vain toiling
διπλοῦς δρόμους ἤλαυνεν εἰς ὁδὸν μίαν.
double courses drove into road one
ἀλλ' ὡς ἑτοίμοις καὶ προησφαλισμέναις
but as to-ready and secured-beforehand
ταῖς τακτικαῖς σου προσβαλὼν εὐτεχνίαις
the tactical your having-struck skills
ἄνευρον αὐτῷ τὴν μάχην ἠπίστατο,
sinewless for-him the battle he-knew
κλοπὴν μεριμνᾷ, καὶ παρεσκευάζετο
theft he-plans and was-preparing
λαβεῖν συνεργὸν τοῦ σκοποῦ τὴν εὐφρόνην·
to-take as-fellow-worker of-the aim the night
πρὸς γὰρ ἐπελεύσεις λοιπὸν εὐτρεπίζετο,
toward for attacks henceforth he-was-getting-ready
ζητῶν ἀφεγγῆ καιρὸν εἰς τὰ κλέμματα.
seeking a-lightless season for the thefts

ἐπεὶ δὲ τὸν φωστῆρα τὸν μεθ᾽ ἡμέραν
when but the luminary the after day
τὴν νύκτα παμφαίνοντα παμφαῆ βλέπων
the night all-shining all-bright seeing
ἔλεγχον εἶχε τῆς κλοπῆς τὴν λαμπάδα,
as-refutation he-had of-the theft the torch
καὶ τὴν σελήνην λοιπὸν ὡς ἐναντίαν
even the moon henceforth as opponent
τὴν πρὶν σεβαστὴν εἶχε δυσσεβουμένην·
the formerly revered he-had impiously-treated
καί που καθ᾽ αὐτὸν δυσφορῶν ἐπηύξατο
and somehow by himself chafing prayed
ὁ βάρβαρος νοῦς μὴ πρὸς αὔξησιν τρέχειν
the barbarian mind not toward waxing to-run
λήγειν δὲ μᾶλλον τὴν θεὸν τῆς Περσίδος.
to-cease but rather the goddess — of-Persia

III · THE AMBUSH OVERTURNED

The Persians' moon goddess is eclipsed. Heraclius drills his army and pitches his tent between the armies, sharing his soldiers' dust and sweat. At dawn a feigned flight draws the barbarian's ambush, and the Persians flee into the cliffs behind a screen of smoke. Called home by danger in the west, he leaves; the poet foresees Chosroes in chains.

Ἔκλειψιν ἔσχεν ἡ θεὸς τῆς Περσίδος,
eclipse had the goddess — of-Persia
ἔκλειψιν ἔσχε καὶ λόγῳ καὶ πράγματι.
eclipse she-had both in-word and in-deed
οἶμαι δὲ χαίρειν Περσικῆς βλάβης χάριν
I-think and to-rejoice of-Persian harm for-the-sake

φθίνουσα καὶ λήγουσα καὶ μειουμένη·
waning and ceasing and being-diminished
ἀεὶ γὰρ αὐτοῖς μᾶλλον ἐκλείπειν θέλει
always for to-them rather to-fail she-wishes
ἤπερ προλάμπειν δυσσεβῶς τιμωμένη.
than to-shine-forth impiously being-honored
ἡμᾶς δὲ λαμπὰς ἡλίου τοῦ δεσπότου
us and the-torch of-the-sun of-the master
θάλπουσα καὶ νῦν ἐξανάπτει τοὺς λόγους,
warming even now kindles the words
καὶ Φοῖβος ἡμῖν εὐσεβὴς προέρχεται,
and Phoebus for-us pious comes-forth
πάντας καθαίρων ἐκ καθαρσίου λόγου·
all purifying from purifying word
τοῦ Λοξίου δὲ τοὺς ὅρους βδελύττεται,
— of-Loxias but the bounds abhors
τὰ στρεβλὰ φεύγων τῆς πλάνης αἰνίγματα.
the crooked fleeing of-the delusion riddles
Ἤδη δὲ πολλῶν ἐν μέσῳ κινουμένων
already and many in the-middle being-moved
τρεῖς πεντάριθμοι λοιπὸν ἦσαν ἡμέραι,
three five-numbered henceforth were days
ἐν αἷς ἀπαύστως εἰς ἀγῶνας ἐκτρέχων
in which unceasingly into contests running-out
πρὸς τὰς παρατάξεις τὸν στρατὸν συνεκρότεις.
for the battle-lines the army you-drilled
ὁ βάρβαρος δὲ καὶ γένει τῷ τρόπῳ
the barbarian but also by-race by-the manner
οὐκ εἶχε τοῦ νοῦ παντελῶς τὰς ἡνίας·
not had of-the mind entirely the reins

καὶ πολλάκις γὰρ τὴν μάχην ὑπέσχετο,
and often for the battle he-promised
καὶ πρὸς τοσαύτην ἦλθεν αἰσχύνην ὅτι
and to so-great came shame that
καθ᾽ ἡμέραν σοι προσβαλὼν ἀνετράπη,
by day to-you having-attacked he-was-overturned
ἄτολμα τολμῶν καὶ τρέχων ὑπόστροφα.
undaring-things daring and running backward
ὄρη μὲν οὖν κατεῖχεν ὡς αἱ δορκάδες,
mountains indeed then he-held like the gazelles
ᾤκει τε πέτρας ὥσπερ οἱ πτῶκες φόβῳ.
dwelt and rocks as the hares in-fear
οὐκ ἄσκοπον δὲ χρῆμα τῆς πονηρίας.
not aimless and the-thing of-the wickedness
καὶ τοῦτο πράττων εὐθέως ἡλίσκετο.
and this doing at-once he-was-caught
εἰς δυσβάτους γὰρ προσκατέτρεχε τόπους,
into hard-to-tread for he-ran-down places
ὅπως ἀφορμὴν εἰς ὑπέρθεσιν λάβοι
so-that a-pretext for delay he-might-take
τῆς σῆς ἑτοίμου τῶν στρατευμάτων μάχης.
of-the your ready of-the armies battle
αὐτὸς δὲ πρὸς γῆν εὐθέτως ἡπλωμένην
you-yourself and to land fittingly spread-out
τὸν σὸν στρατὸν προσῆγες ηὐτρεπισμένον.
the your army led prepared
καί που σκοπήσας ἐξ ὄρους ὁ βάρβαρος
and somehow having-viewed from a-mountain the barbarian
τὴν καλλίτεχνον καὶ σοφὴν στρατηγίαν,
the artful and wise generalship

καὶ τὴν τοσαύτην ἐκπλαγεὶς εὐταξίαν,
and the so-great having-been-astounded-at good-order
ἔπηξεν αὐτοῦ σὺν φόβῳ τὰ τάγματα,
fixed his with fear the ranks
καὶ τοῖς λίθοις ἔμεινε συλλιθούμενος.
and by-the stones remained turned-to-stone-with-them
οὐκ ἔστι ταῦτα πρὸς χάριν κεχρωσμένα,
not are these-things for favor colored
ἁπλοῖ δὲ πάντως τῆς ἀληθείας λόγοι,
simple but by-all-means of-the truth words
οὓς εἰ σιωπήσαιμεν, αἱ πέτραι τάχα
which if we-should-be-silent the stones perhaps
φωνὰς ἀπορρήξουσι τῶν πεπραγμένων.
voices will-break-forth of-the deeds-done
Ἐπεὶ δὲ πολλὴν ἐξ ἔθους ὑπέρθεσιν
when and much from custom delay
τοῦ βαρβάρου παρεῖχεν ἡ δειλανδρία
of-the barbarian afforded the cowardice
(δειλὸς γὰρ ὢν κἄτολμος ἀνδρεῖος μόνον
cowardly for being and-undaring brave only
ἐν τῇ δοκήσει τῆς μάχης ἐφαίνετο,
in the seeming of-the battle he-appeared
τὰς δὲ παρατάξεις εἶχε μὴ κινουμένας·
the and battle-lines he-had not being-moved
οὕτω γὰρ ἦσαν ἱστορημέναι μόνον
thus for they-were painted only
ὡς ζωγραφοῦσιν οἱ γραφεῖς τὰς εἰκόνας),
as paint the painters the images
κἀνταῦθα τολμᾷς τῆς Ἀλεξάνδρου πλέον,
and-here you-dare than-the of-Alexander more

κράτιστε, γνώμης, ἀλλὰ κινδύνου δίχα,
most-mighty judgment but danger without
οὐχ ὥσπερ εἰς κίνδυνον οὐ θέλων τρέχειν,
not as into danger not wishing to-run
ἀλλὰ σφαλῆναι μὴ θέλων ἀβουλίᾳ·
but to-be-tripped not wishing by-ill-counsel
εὐβουλίαις γὰρ ὁ στρατηγὸς ἀσφαλής,
by-good-counsels for the general (is)-safe
ἀλλ᾽ οὐχὶ τόλμαις ἐστὶν ἀσφαλέστερος.
but not by-daring-deeds he-is safer
καὶ δὴ μεταξὺ τῶν στρατευμάτων τότε
and indeed between the armies then
σκηνὴν ἔπηξας, εὐχερεῖς πρὸς τὴν μάχην
a-tent you-pitched easy for the battle
διδοὺς ἀφορμάς· καὶ τὸ δεῖπνον ἐν μέσῳ
giving pretexts and the dinner in the-middle
ἕτοιμον ἦν σοι σχηματισμῷ καὶ μόνῳ·
ready was for-you in-appearance and only
ὁ νοῦς γὰρ ὑμῶν οὐκ ἐδεσμάτων πόθον
the mind for your not of-foods longing
ἀλλ᾽ εἰς τὸ σώζειν εἶχε τὴν ἀπληστίαν.
but for the to-save had the greed
οὕτως ἐκείνων ἀσφαλῶς κατεφρόνεις,
thus those safely you-despised
ὕλας χορηγῶν καὶ τοσαύτας καὶ ξένας,
materials supplying both so-many and strange
ὅπως δι᾽ αὐτῶν ἐξανάψῃς τὴν μάχην.
so-that through them you-might-kindle the battle
οὕτως ἐρεθίζων τὸν κακοῦργον, ὡς κύνα,
thus provoking the evil-doer as a-dog

ἔσπευδες αὐτὸν εἰς πόλεμον ὑφαρπάσαι.
you-were-eager him into war to-snatch
ἀλλ᾽ οὐκ ἔπειθες τοῦτον ἐκτρέχειν ὅλως,
but not you-persuaded him to-run-out at-all
οὔτε προτολμῶν οὔτε παίζων τὴν μάχην·
neither daring-first nor playing the battle
τῇ γὰρ δοκήσει τῇ παρημελημένῃ
by-the for seeming the neglected
ἡ σὴ καταφρόνησις, ὡς οἶμαι, πλέον
the your contempt as I-think more
τοὺς βαρβάρους ἔβαλλεν εἰς ἀγωνίαν.
the barbarians threw into anguish
ἐντεῦθεν οὐδεὶς εὐχερῶς μετήρχετο
thence no-one easily went-over
ἢ τῶν κατ᾽ αὐτὸν ἐξεπήδα ταγμάτων·
or of-the about him leaped-out ranks
πάντες γὰρ ἦσαν ὥσπερ ἐστηλωμένοι.
all for were as-if set-up-like-pillars
σκηνῆς δὲ τῆς σῆς ἡ ξένη θεωρία
of-tent and the your the strange sight
τοῖς βαρβάροις μὲν φραγμὸς ἀντεκτίζετο,
for-the barbarians indeed a-fence was-built-against
τεῖχος δὲ τοῖς σοῖς οἰκέταις καθίστατο.
a-wall but for-the your servants was-established
μίαν γὰρ ἡ τρέχουσα πανταχοῦ δίκη
one for the running everywhere justice
τοὺς ἀλλοφύλους οὐ παρῆκεν ἡμέραν,
the foreigners not let-pass day
ἀλλ᾽ ἐξέχοντα βαρβάρων σκηνώματα
but projecting of-barbarians tents

ἔπιπτον ἄρδην· συμπλοκὴ γὰρ πολλάκις
fell utterly a-clash for often
τῷ πλησιάζειν ἐκ μέρους ἐγίνετο.
by-the to-draw-near in part came-about
ὅμως ἕκαστον τῶν ἀριστέων τότε
yet each of-the champions then
μόνος παρεσκεύαζες εἰς προθυμίαν,
alone you-made-ready into eagerness
ἀεὶ προπηδῶν εὐσθενῶς ἐν ταῖς μάχαις
always leaping-forward strongly in the battles
καὶ τόξον ἕλκων καὶ προτείνων ἀσπίδα
both bow drawing and holding-out shield
καὶ πάντα πράττων ἀνθ' ὅλων πρὸ τῶν ὅλων,
and all-things doing instead-of all before the all
δι' ὧν ἕκαστος εὐθὺς ἠρεθίζετο
through which each at-once was-roused
κίνδυνον εὑρεῖν μᾶλλον ἢ τοῦ δεσπότου
danger to-find rather than the master
πονοῦντος οὕτω μὴ μετασχεῖν τοῦ πόνου.
toiling thus not to-share-in the toil
καὶ πᾶς τις ὢν ἄτολμος εἰς ὑμᾶς βλέπων
and every one being undaring at you looking
τὸν νοῦν μετεσκεύαζεν εἰς εὐτολμίαν·
the mind refashioned into daring
φέρειν γὰρ οἶδεν ἔργον εἰς εὐπραξίαν,
to-bear for it-knows work into success
ὅτε πρὸ πάντων δεσπότης ὁπλίζεται.
when before all the-master arms-himself
καί πού τις εἶπε προσλαλῶν τῷ συμμάχῳ
and somewhere one said speaking to-the ally

"φεῦ τῆς ἀνάγκης· ὁ βασιλεὺς καὶ δεσπότης
alas for-the necessity the emperor and master
ὡς εἷς ἀφ' ἡμῶν πρὸς μάχην ὁπλίζεται!
as one of us for battle arms-himself
καὶ νῦν σιδηροῦς ἀντὶ πορφύρας χιτὼν
and now an-iron instead-of purple tunic
σφίγγει τὰ νῶτα καὶ βαρεῖ τὸν αὐχένα,
binds the back and weighs-down the neck
κόνις δὲ πολλὴ συμπλακεῖσα τῇ κόμῃ
dust and much intertwined with-the hair
μορφὴν τοσαύτης συγκαλύπτει τέρψεως·
the-form of-so-great covers-up delight
τὸν καυστικὸν δὲ τοῦτον ἥλιον στέγει
the burning and this sun he-bears
ἱδρῶτι θερμῷ πανταχοῦ βεβρεγμένος,
with-sweat hot everywhere drenched
ὃν ἐξ ἀνάγκης τῶν μελῶν ἐσφιγμένων
which from necessity of-the limbs bound-tight
πόνος βίαιος ἐκφέρει τοῦ σώματος."
toil violent carries-out of-the body
ὡς εἶπεν, ἐστέναξεν ἐκ βάθους μέγα,
as he-said he-groaned from depth greatly
καὶ συγκατέρρει τῷ λόγῳ τὰ δάκρυα.
and ran-down-with the word the tears
ὁ δὲ πρὸς αὐτὸν εὐθὺς ἀντεφθέγξατο
the-other and to him at-once answered
"ἀλλ' οὐ τοσοῦτον τὴν ἐμὴν πλήττει φρένα
but not so-much the my strikes mind
τὸ δυσπαθοῦντα νῦν ὁρᾶν τὸν δεσπότην,
the suffering-ill now to-see the master

ὅσον με ποιεῖ τοῦτο θαυμάζειν, ὅτι
as-much-as me makes this to-wonder that
πρὸς τὰς ἀνάγκας ἡδέως ἐπείγεται
toward the necessities gladly he-hastens
καὶ τέρψιν εἶναι τοὺς πόνους λογίζεται.
and delight to-be the toils reckons
κρατῶν γὰρ αἰχμὴν ὡραΐζεται πλέον
holding for a-spear he-is-beautified more
ἢπερ κρατῶν τὰ σκῆπτρα τῆς ἐξουσίας·
than holding the scepters of-the authority
φέρει δὲ ταύτην εὐμαρῶς τὴν ἀσπίδα,
he-bears and this easily the shield
ἥδιστα μᾶλλον, ὡς βλέπω, τοῦ στέμματος.
most-sweetly rather as I-see than-the crown
καὶ πρὶν δι᾽ ἡμᾶς τοὺς φόνους κατασβέσας
and formerly because-of us the slaughters having-quenched
πάλιν δι᾽ ἡμᾶς πρὸς φόνους ὁπλίζεται.
again because-of us for slaughters arms-himself
καὶ νῦν μελαμπέδιλον ἐκτείνων πόδα
and now black-sandaled stretching-out a-foot
τοῖς μὴ τρέπουσίν ἐστιν εὐπρεπέστερος
to-those not turning he-is more-seemly
καὶ τοῖς πενιχροῖς τιμιώτερος μένει·
and to-the poor more-honored remains
βάψαι γὰρ αὐτὸν τῇ ξένῃ βαφῇ θέλει,
to-dip for it in-the strange dye he-wishes
ποιῶν ἐρυθρὸν Περσικῶν ἐξ αἱμάτων.
making (it)-red of-Persian from bloods
ποίας λιθώδεις οὐ μαλάττει καρδίας;
what stony not softens hearts

ποίας ἀτόλμους οὐ παροξύνει φρένας
what undaring not sharpens minds
πείθει τε ῥᾷστα πάντα κίνδυνον φέρειν;
persuades and most-easily every danger to-bear
ὃς οὔτε μητρὸς τῇ φιλοστόργῳ φύσει
who neither of-a-mother by-the affectionate nature
οὔτ' αὖ τοσοῦτον τοῖς τέκνοις ἀνθέλκεται,
nor again so-much to-the children is-drawn-back
ὅσον πρὸς ἡμᾶς ἐκπυροῦται τῇ σχέσει."
as-much-as toward us is-set-on-fire in-the affection
ταῦτα προσειπὼν καὶ στενάξας ὄργιλον
these-things having-spoken and having-groaned angrily
σὺν τῷ στεναγμῷ τοὺς φόνους εἰργάζετο.
with the groan the slaughters he-wrought
Τούτοις, κράτιστε, καὶ συνήσθην εἰκότως
with-these most-mighty and I-rejoiced-with fittingly
καλῶς φρονοῦσι, καὶ συνήλγησα πλέον,
well thinking and I-grieved-with more
τῇ ταυτότητι συγχυθεὶς τῶν δακρύων·
by-the sameness confounded of-the tears
καὶ τὴν χαρὰν γὰρ πολλάκις χαρὰ τρέφει,
even the joy for often joy nourishes
καὶ δάκρυσί τις ἐξεγείρει δάκρυα.
and by-tears one rouses tears
Ἡμῖν μὲν οὕτως ἦν ἄλυπα δάκρυα.
for-us indeed thus were painless tears
πλὴν οὐ προσήκει συγκαλύψαι τῷ λόγῳ
yet not it-befits to-cover-up in-the word
τὸ Περσικὸν κάλυμμα τῆς πανουργίας.
the Persian covering of-the villainy

οἶδεν γὰρ αὐτοὺς ἡ διδάσκαλος πλάνη
knows for them the teacher delusion
καὶ συμμαχοῦντας δεικνύειν ἀγνώμονας·
even fighting-as-allies to-show ungrateful
τὸ σύντροφον γὰρ τῆς κακουργίας ἔθος
the familiar for of-the villainy custom
ἀεὶ παρ᾽ αὐτοῖς εἰς νόμον μεθίσταται.
always among them into law changes
ἐρῶ δὲ πᾶσαν τοῦ σκοποῦ τὴν αἰτίαν.
I-will-tell and all of-the aim the cause
καὶ γάρ τις αὐτῶν εἰς τὸν ἔμπροσθεν χρόνον
and for one of-them in the before time
προσαυτομολήσας τῷ στρατῷ σου βάρβαρος,
having-deserted to-the army your a-barbarian
ὅμως δὲ Πέρσης (καὶ τὸ πᾶν διαγράφω),
yet but a-Persian and the whole I-describe
ἔδοξεν εἶναι πιστὸς ἐξ ἀπιστίας,
seemed to-be faithful from faithlessness
καὶ λοιπὸν ἡμῖν συμμαχεῖν ἠπειγμένος
and henceforth with-us to-fight-as-ally having-hastened
ἐν τῷ στρατῷ σου προσφόρως ἐτάττετο.
in the army your fittingly was-ranked
ἤδη δὲ τούτῳ τεττάρων τε καὶ δέκα
already and for-him of-four both and ten
ὑπῆρχε κύκλος ἡμερῶν πληρουμένων,
there-was a-cycle of-days being-fulfilled
ὅτε πρὸς αὐτοὺς δυστυχῶς τοὺς βαρβάρους
when to the-very unluckily the barbarians
παλινδρομήσας ἀστάτοις βαδίσμασι
having-run-back with-unstable steps

Ῥίψασπις ὥσπερ εὑρέθη τὸ δεύτερον,
Shield-thrower as-it-were was-found the second-time
οὐκ ἀσκόπως δὲ τοῦτο πράττων ἐσφάλη·
not aimlessly and this doing he-was-tripped
οἱ γὰρ φθάσαντες τῆς ἀτολμίας χρόνοι,
the for having-preceded of-the timidity times
ἔπειθον αὐτὸν ὡς πάλιν τὰ Περσίδος
persuaded him that again the of-Persia
ἐπικρατήσει τῆς μάχης στρατεύματα.
will-prevail of-the battle forces
ἀλλ᾽ οὐδὲν αὐτὸν ὠφέλησαν ἐν μέσῳ
but nothing him profited in the-middle
τὰ λοξὰ ταῦτα τοῦ δόλου βουλεύματα.
the slanting these of-the guile counsels
τῆς καρδίας γὰρ ἀστάτως κινουμένης
of-the heart for unstably being-moved
συναστατούσας εἶχε καὶ τὰς ἐλπίδας,
unstable-with-it he-had also the hopes
ἐναντίας δὲ πανταχοῦ τὰς ἐκβάσεις
contrary and everywhere the outcomes
καὶ τοῖς λογισμοῖς εἶχε συμπλανωμένας.
also with-the reasonings he-had wandering-with
τὴν γὰρ κρατοῦσαν συμφορὰν τῶν βαρβάρων
the for prevailing misfortune of-the barbarians
καὶ τὴν ἐν αὐτοῖς ἐκπλαγὲις ἀτολμίαν,
and the in them having-been-astounded-at timidity
βλέπων τε πικρὰς ἐλπίδας παρ᾽ ἐλπίδα,
seeing and bitter hopes beyond hope
πάλιν πρὸς ἡμᾶς ἀντανήρχετο δρόμῳ,
again toward us came-back-up at-a-run

καὶ μὴ φυλάξας τὸν λόγον, τὸν σὸν λόγον
and not having-kept the word the your word
ἕτοιμον εὑρών, ὀξέως ἐσώζετο·
ready having-found swiftly was-saved
οὕτως ἅπαντας καὶ τρέχοντας προσδέχῃ
thus all both running you-receive
καὶ μὴ τρέχοντας εἰς τὸ σώζειν ἐκδέχῃ
and not running for the to-save you-await
ἐκεῖνος ἡμῖν πᾶσαν ἠκριβωμένως
that-one to-us all exactly
τῶν βαρβάρων ἐξεῖπε τὴν ἀτολμίαν,
of-the barbarians told-out the timidity
καί που σὺν αὐτοῖς τοῖς λόγοις ἐπηύξατο
and somehow with the-very the words prayed
οὕτω διὰ τέλους τοὺς ἐναντίους βλέπειν
thus through end the opponents to-see
ὡς εἰσὶν ἄρτι πάντες ἐπτοημένοι.
as they-are now all terrified
Ὁ βάρβαρος δὲ πανταχοῦ κλονούμενος
the barbarian but everywhere being-shaken
δεινόν τι τολμᾶν ἐκ βίας βουλεύεται·
terrible something to-dare from violence plans
οἶδε γὰρ ὡς τὰ πολλὰ καὶ περίστασις
he-knows for that for-the most-part also circumstance
τὰ δεινὰ τίκτειν ἐκ δέους βουλεύματα.
the terrible to-beget from fear counsels
καὶ δὴ κατ᾽ αὐτὸν τῆς ἀνάγκης τὸν χρόνον
and indeed at the-very of-the necessity the time
ὥραν φυλάξας, ὡς ἔδοξεν, εὔθετον,
an-hour having-watched-for as it-seemed fitting

ὅτε προκύψας ἐκ βάθους ἑωσφόρος
when having-peeped-forth from depth the-morning-star
πρόεισι λαμπρὸς ἄγγελος τῆς ἡμέρας,
comes-forth bright messenger of-the day
εἰς τρεῖς μὲν ἱστᾷ τὸν στρατὸν διαιρέσεις,
into three indeed he-sets the army divisions
ἀντιπρόσωπα τῷ δοκεῖν τὰ τάγματα
face-to-face in-the to-seem the ranks
ταῖς σαῖς φάλαγξι σὺν δόλῳ ποιούμενος,
to-the your phalanxes with guile making
τὴν ἐκλογὴν δὲ τοῦ στρατοῦ συναρμόσας
the choice and of-the army having-fitted-together
ἔκρυψεν αὐτοὺς τῶν φαράγγων ἐν μέσῳ,
hid them of-the ravines in the-middle
ὅπως ἐκείνων ἐκραγέντων ἐκ βάθους
so-that those having-burst-out from depth
ἀπροσδοκήτως καὶ παρ᾽ ἐλπίδας φόβῳ
unexpectedly and beyond hopes by-fear
μέρος τι τῶν σῶν συνταράξῃ ταγμάτων·
part some of-the your he-might-confuse ranks
τῶν γὰρ φθασάντων τῆς ἀτολμίας χρόνων
of-the for having-preceded of-the timidity times
εἰθισμένη τις ἐλπὶς αὐτὸν ἠπάτα,
accustomed a hope him deceived
ὡς εἴπερ ἕν τι τοῦ στρατοῦ λυθῇ μέρος,
that if one some of-the army should-be-loosed part
τροπῆς ὄλισθος εἰς τὸ πᾶν διαδράμοι.
of-rout a-slipping into the whole might-run-through
ἀλλ᾽ οὐκ ἀνευτρέπιστος ἀνθωπλίζετο
but not unprepared armed-against-him

τῆς σῆς ἑτοιμότητος ἡ στρατηγία.
of-the your readiness the generalship
πρὶν ἢ γὰρ ἡ νὺξ τὴν μέσην τομὴν λάβοι,
before than for the night the middle cut might-take
πάντας μὲν αὐτῶν τοὺς κεκρυμμένους δόλους
all indeed their the hidden guiles
ταῖς σαῖς μερίμναις ἐξ ἔθους ἠπίστασο,
by-the your cares from custom you-knew
τάξας δὲ θείως τὸν στρατὸν καὶ ῥυθμίσας
having-arrayed and divinely the army and having-set-in-rhythm
πρὸς τὴν μάχην αὐτοὺς ἐξῆγες, ἡνίκα
toward the battle them you-led-out when
τὸ φῶς ἀνίσχων τοὺς ἐναντίους πάλιν
the light rising the opponents again
ὁ σεπτὸς αὐτοῖς ἐσκότιζεν ἥλιος.
the revered to-them darkened sun
καὶ δὴ προπέμπεις εὐαρίθμητον μέρος
and indeed you-send-forward an-easily-counted part
τοῦ σοῦ στρατοῦ, κράτιστε, τούτους ὁπλίσας
of-the your army most-mighty these having-armed
οὐ τοῖς ὅπλοις τοσοῦτον ὡς εὐβουλίαις.
not with-the arms so-much as with-good-counsels
ἐπεὶ γὰρ ἐξήλαυνον ὥσπερ εἰς μάχην,
when for they-rode-out as-if into battle
τὸν πλαστὸν αὖθις σχηματίζονται φόβον,
the feigned again they-assume fear
ἐψευσμένως φεύγοντες. οἱ δὲ βάρβαροι,
falsely fleeing the but barbarians
τῆς ἐκλογῆς ἐκεῖνο τὸ στερρὸν νέφος,
of-the choice that the solid cloud

ἐκ τῶν ἀδήλων ἐκπεσόντες αὐλάκων
from the unseen having-fallen-out furrows
ἤλαυνον αὐτοὺς τῷ δοκεῖν πεφευγότας.
drove them in-the to-seem having-fled
αὐτὸς δὲ τούτοις ἀντεπεξάγεις τάχος
you-yourself but against-these lead-out-in-turn swiftly
τοὺς σοὺς ἀρίστους, καὶ παρ᾽ ἐλπίδας τότε
the your best and beyond hopes then
ἀπροσδοκήτῳ προσραγέντες συντάσει
with-unexpected having-dashed-against vehemence
τὰ νῶτα τοῖς σοῖς οἰκέταις ἀπέστρεφον.
the backs to-the your servants they-turned
Ὦ νοῦς διαρκὴς καὶ τομωτάτη φύσις
O mind sufficient and sharpest nature
καὶ πῦρ λογισμῶν ἐν βάθει διατρέχον!
and fire of-reasonings in depth running-through
ὅμως τὸ πῦρ μὲν καὶ μελαίνει καὶ φλέγει·
yet the fire indeed both blackens and burns
ὁ σὸς δὲ νοῦς, ἄριστε, λευκαίνει τὸ πᾶν,
the your but mind O-best whitens the all
θάλπει δὲ πάντας καὶ πυρώσει μὴ φλέγων.
warms and all and with-burning not burning
Ὁ βάρβαρος δὲ τὸν κεκρυμμένον δόλον
the barbarian but the hidden guile
εὑρὼν ἑαυτῷ βόθρον ἐκ τοὐναντίου,
having-found for-himself a-pit from the-contrary
ὅλους προπηδᾶν τοῖς τραπεῖσι συμμάχους
whole to-leap-forward to-the routed allies
ἐκ τῶν ἑαυτοῦ ταγμάτων ἐπέτρεπεν,
from the his-own ranks permitted

ἐπεὶ δὲ καὐτοὺς εἶδεν ἐπτοημένους
when and also-them he-saw terrified
καὶ συντόνως πίπτοντας ἀσχέτῳ φόβῳ,
and vehemently falling by-unchecked fear
πρῶτον μὲν αὐτοῦ δυσσεβεῖ τοὺς προστάτας
first indeed his impiously-treats the protectors
καὶ θᾶττον ἠτίμωσε τοὺς τιμωμένους,
and quickly dishonored the honored
ὕδωρ κενώσας καὶ τὸ πῦρ κατασβέσας.
water having-emptied and the fire having-quenched
καπνοῦ δὲ πολλὰς συγχύσεις ποιούμενος,
of-smoke and many confusions making
κλέπτει τὸ φεύγειν καὶ σχεδιάζει τὸν γνόφον,
steals the to-flee and improvises the gloom
καὶ νύκτα ποιεῖ, καινοτομῶν τὴν ἡμέραν.
and night makes innovating the day
εὑρών τε κρημνοὺς καὶ στενὰς διεξόδους
having-found both cliffs and narrow passages
λοξάς τε πετρῶν ἐξοχὰς καὶ δυσβάτους,
slanting both of-rocks projections and hard-to-tread
ὠθεῖ καλύψας τῷ γνοφῷ τὰ τάγματα
pushes having-covered with-the gloom the ranks
καὶ τὰς ἐκείνων δυστυχεῖς συνοικίας
and the of-those unfortunate households
πρὸς ἄκρον ὕψος καὶ κατάρροπον βάθος.
toward topmost height and downward depth
ἐντεῦθεν αὐτοῖς συμφορῶν πολυτρόπων
thence for-them of-misfortunes manifold
συμπτωμάτων τε καὶ φόνων καὶ κλασμάτων
of-accidents both and of-slaughters and of-breakings

κίνδυνος ηὐτρέπιστο συντριβῆς γέμων.
danger had-been-prepared of-crushing full
καί πού τις αὐτῶν ἐξ ἀνάγκης ηὔξατο
and somewhere one of-them from necessity prayed
ἐλθεῖν κατ᾽ αὐτοῦ συντομώτερον ξίφος.
to-come against him a-swifter sword
ἄλλος δὲ νώτοις ἱππικοῖς ἐφιζάνων
another and on-backs of-horses sitting
μετέωρος ἤρθη τῇ βίᾳ τοῦ σφίγματος.
aloft was-lifted by-the violence of-the squeeze
πολλοῖς δὲ τεῖχος τὰς καμηλίους τότε
for-many and a-wall the camels' then
πλευρὰς κατεσκεύαζεν ἡ περίστασις.
flanks made the circumstance
κρημνούς τε πάντες ἀγρίων αἰγῶν δίκην
cliffs and all of-wild goats like
φυγῆς ἀνεξίχνευον ἐκπηδήματα.
of-flight tracked-out leapings
ἡ σὴ δὲ πᾶσα τοῦ στρατοῦ συνοικία
the your and whole of-the army household
βλέποντες εὐφραίνοντο τῇ θείᾳ κρίσει
seeing rejoiced at-the divine judgment
τὰ τῆς παραδόξου θαύματα στρατηγίας·
the of-the paradoxical wonders generalship
βολὴ γὰρ οὐκ ἦν ἐπτερωμένου βέλους
a-cast for not there-was of-a-winged arrow
ἐν τῇ μεταξὺ τῶν στρατῶν διαστάσει,
in the between of-the armies distance
καὶ πᾶς τις ἡμῶν εὐκόλως ἀπέβλεπε
and every one of-us easily looked

πρὸς τὰς ἐπάλξεις τῶν φαράγγων τὰς νόθους,
toward the battlements of-the ravines the bastard
ἐν αἷς τὸ πλῆθος ἐκχυθὲν τῶν βαρβάρων
in which the multitude poured-out of-the barbarians
πυκνῶς ἐνεστρέφοντο μὴ κινούμενοι.
densely turned-about not being-moved
Ἀλλ᾽ οἱ μὲν ἦσαν ἐν τοσαύτῃ φροντίδων
but they indeed were in so-great of-cares
ζάλῃ διαρρέοντες ὡς τὰ κύματα,
a-storm flowing-apart as the waves
ἃ ταῖς ἑαυτῶν ἐκδρομαῖς ὠθούμενα
which by-the their-own runnings-out being-pushed
τὰ μὲν πρὸς ὕψος ἐκ βάθους ἀνέρχεται,
some indeed toward height from depth rise
τὰ δὲ προπίπτει καὶ πάλιν κοιλαίνεται·
others and fall-forward and again are-hollowed
οὕτως ἐκείνων τῶν ἀτάκτων ταγμάτων
thus of-those the disorderly ranks
ἐν τοῖς ἀνύδροις κυματουμένων λίθοις,
among the waterless surging stones
τὰ μὲν πρὸς ὕψος ἐκ βάθους ἀνήρχετο,
some indeed toward height from depth rose
τὰ δὲ πρὸς αὐτὰ τῶν κάτω τὰ τέρματα
others and toward the-very of-the below the ends
πίπτοντα πυκνὰς συγχύσεις εἰργάζετο.
falling dense confusions made
οὕτως ἕκαστος ἀφρόνως ἐδυστύχει,
thus each foolishly was-unfortunate
ὁ δὲ προπίπτων ἦν ἐπίφθονος μόνον·
the-one but falling-forward was enviable only

πᾶς γὰρ παρ᾽ αὐτοῖς εὐτυχὴς ἐκρίνετο,
every for among them fortunate was-judged
ὃς πρὸς τὸ θνήσκειν εὑρέθη τομώτερος.
who for the to-die was-found sharper
ἡμῖν δὲ πᾶσα καὶ γαλήνη καὶ χάρις,
to-us but all both calm and grace
τέρψις δὲ μᾶλλον ἢ φόβος προσήρχετο.
delight and rather than fear came
καὶ πᾶς πρὸς ὕψος τῷ θεῷ τῶν κτισμάτων
and every toward height — to-God of-the created-things
τὰς χεῖρας ἐξέτεινε σὺν τῇ καρδίᾳ,
the hands stretched-out with the heart
καὶ τῷ στρατηγῷ συντόνως ἐπηύχετο.
and for-the general vehemently prayed
πάντες γὰρ οἱ πρὶν μηδὲ Περσικὴν κόνιν
all for the formerly not-even Persian dust
ἰδεῖν στέγοντες οὐδὲ τὰς σκηνὰς τότε
to-see enduring not-even the tents then
καθεῖλον, ἀλλ᾽ ἕκαστος ἣν εἶχε σκέπην,
took-down but each which he-had shelter
οὕτως ἀφῆκεν ὥσπερ ἦν πεπηγμένη.
thus let-be as it-was fixed
τοὺς βαρβάρους δὲ πάντας ἐκλόνει φόβος.
the barbarians but all shook fear
ἐντεῦθεν οὐδὲ φόρτον ἐκ κτήνους τότε
thence not-even a-load from a-beast then
καθεῖλεν οὐδείς, οὔτε μὴν τὴν γαστέρα
took-down no-one nor indeed the belly
τροφῆς ἀνεπλήρωσεν, οὔτε τις γόνυ
with-food filled nor anyone a-knee

κλίνας ἐλαφροὺς τοὺς πόνους εἰργάζετο,
having-bent light the toils made
ἀλλ᾽ εἰς παρεξόδους τε καὶ πλανωμένας
but into byways both and wandering
τρίβους ἑαυτοὺς ἐμβαλόντες ἐν φόβῳ
paths themselves having-thrown-into in fear
ἔκριναν εἶναι τὴν φυγὴν σωτηρίαν.
judged to-be the flight salvation
οὕτως τὰ πολλὰ καὶ ξένα γνωρίσματα
thus the many and strange tokens
πρὸς τοὺς φθάσαντας ἀντιμετρήσας χρόνους
against the having-preceded having-measured times
θείαν ἀπηκρίβωσε τὴν στρατηγίαν.
divine be-made-exact the generalship
τίς γὰρ τὸ Περσῶν δυσμαχώτατον γένος
who for the of-Persians hardest-to-fight race
ἤλπιζε δοῦναι νῶτα Ῥωμαίων ξίφει;
hoped to-give backs of-Romans to-the-sword
τίς ἐν τοσαύταις συμφορῶν τρικυμίαις
who in so-many of-misfortunes great-waves
ἤλπιζεν εὑρεῖν καὶ γαλήνην ἐν μέσῳ;
hoped to-find even calm in the-middle
τίς ἐν τοσαύτῃ τῶν ἀναγκαίων σπάνει
who in so-great of-the necessities scarcity
τροφῆς μετασχεῖν τὰς πόλεις ἐπείθετο,
of-food to-share the cities was-persuaded
εἰ μὴ δι᾽ ὑμῶν τοὺς ἀλάστορας πάλιν
if not through you the accursed-ones again
ἐκ τῆς καθ᾽ ἡμᾶς γείτονος παροικίας
from the at us neighboring neighborhood

μακρὰν ὁ πάντων ἤλασε ζυγοστάτης;
far the of-all drove weigher
Ἀλλ' ὡς τοσαύτῃ συγχύσει μεμιγμένοι
but as with-so-great confusion mixed
ἀπεῖπον ἤδη τὴν μάχην οἱ βάρβαροι,
gave-up already the battle the barbarians
σὺ μέν, κράτιστε, (καὶ γὰρ ἤθελες μένειν
you indeed most-mighty and for you-wished to-remain
τῶν σῶν λογισμῶν πρὸς πόνους πυρουμένων)
of-the your reasonings for toils being-set-on-fire
πολλὰς ἀφορμὰς εὐλόγους ἀνεπλάσω,
many pretexts reasonable you-fashioned
θέλων συνεῖναι τῷ στρατῷ καὶ συντρέχειν·
wishing to-be-with the army and to-run-with-it
ἐπεὶ δὲ καὐτὰ τὰ πρὸς ἑσπέραν γένη
when but also-the-very the toward (the)-west races
ἄσπονδον εἶχεν ἐξ ἔθους ὑποψίαν,
truceless had from custom suspicion
αὖθίς τε καινῶν φροντίδων κινουμένων
again and new cares being-moved
τῆς σῆς ἔχρηζεν ἡ πόλις παρουσίας,
of-the your needed the city presence
ὁ δὲ στρατός σου τοῦτο πράττειν εἰς δέον
the but army your this to-do as needful
ἐδεῖτο πολλὰ καὶ θέλων καὶ δακρύων
begged much both wishing and weeping
(καὶ τῇ πόλει γὰρ συμπαθεῖν ἠπείγετο,
both with-the city for to-sympathize it-hastened
καὶ σοῦ στερεῖσθαι ζημίαν ὡρίζετο),
and of-you to-be-deprived a-loss it-defined

πείθει τὰ λοιπόν· οὐ γὰρ οὕτως εὐκόλως
it-persuades the henceforth not for thus easily
λαβεῖν τι τερπνὸν ἄλλος εὐτρεπίζεται,
to-take something delightful another gets-ready
ὡς θᾶττον αὐτὸς εὐτρεπίζῃ πρὸς πόνους.
as quicker you-yourself get-ready for toils
Οἷος δὲ πιστὸς ἀρχιποίμενος τρόπος —
such-as and a-faithful chief-shepherd's manner
ἐκ τῶν πονηρῶν ἁρπάγων τε θηρίων
by the wicked rapacious and beasts
κυκλωθὲν αὐτοῦ προβλέπων τὸ ποίμνιον,
surrounded his foreseeing the flock
ἀμηχανεῖ μὲν πῇ τραπῇ πρὸς τὴν μάχην,
is-at-a-loss indeed where he-may-turn toward the battle
ὅμως δὲ κάμνει πανταχοῦ διατρέχων,
yet but toils everywhere running-through
εἴ πως παρ᾽ αὐτῶν ἁρπάσοι τὸ ποίμνιον—,
if somehow from them he-might-snatch the flock
οὕτω τὸ πιστὸν τῆς λογικῆς ποίμνης γένος
thus the faithful of-the rational flock race
ἀμηχανεῖς μὲν προβλέπων ἑκάστοτε
you-are-at-a-loss indeed foreseeing each-time
ἐκ τῶν ἀπίστων θηρίων κυκλούμενον,
by the faithless beasts being-surrounded
ὅμως δὲ κάμνεις καὶ περιτρέχεις ἀεί,
yet but you-toil and run-around always
ἐκεῖθεν ἔνθεν πανταχοῦ πονούμενος,
thence hence everywhere laboring
βάλλων, διώκων, ἐκτρέχων, ὑποστρέφων,
shooting pursuing running-out turning-back

εἴ πως ἑαυτὸν ἀντίλυτρον εἰσάγων
if somehow yourself as-ransom bringing-in
ἐλευθερώσεις αἱμάτων τὸ ποίμνιον.
you-will-free from-bloods the flock
ὅθεν τυπώσας πάντα σώφρονι τρόπῳ,
whence having-molded all-things with-prudent manner
καὶ τῷ στρατηγῷ τὸν στρατὸν συναρμόσας,
and to-the general the army having-fitted
καὶ τῷ θεῷ δοὺς τὰς ἐπ᾽ αὐτοῖς ἐλπίδας,
and — to-God having-given the in them hopes
πάλιν πρὸς αὐτὴν τὴν πόλιν σου συντόνως
again toward the-very the city your vehemently
τοσαῦτα πράξας καὶ κατορθώσας τρέχεις.
so-much having-done and having-accomplished you-run
οὐ γὰρ μονήρεις τοὺς ἀγῶνας τῆς μάχης,
not for alone the contests of-the battle
ψυχὴν δὲ τὴν σὴν συγκατώρθωσας πλέον,
soul but the your you-set-right-with-them more
αὐτὸς γὰρ ἡμῖν ἐξαριθμῶν πολλάκις
yourself for to-us counting often
τοῦ σοῦ βίου τὸ μέτρον, ἐτράνους ὅτι
of-the your life the measure you-made-clear that
βιοὺς χρόνον τοσοῦτον ἐν ῥαθυμίᾳ,
having-lived time so-much in sloth
ἔζησα ταύτας τῷ θεῷ τὰς ἡμέρας.
I-lived these — for-God the days
καὶ τοῦτο δῆλον· οὐδὲ γὰρ καλύμματι
and this (is)-clear not-even for with-a-covering
ψεύδους προσήκει τὴν ἀλήθειαν σκέπειν.
of-falsehood it-befits the truth to-cover

νῦν γὰρ τὰ Περσῶν τῆς πλάνης μυστήρια
now for the of-Persians of-the delusion mysteries
γυμνὰ πρόεισιν· ἄρτι τῆς κεκρυμμένης
naked come-forth just-now of-the hidden
ὕδρας παρ᾽ αὐτοῖς ἡ πολυκέφαλος πλάνη
hydra among them the many-headed delusion
ἕνα προτείνειν ἀξιοῖ τὸν αὐχένα,
one to-hold-out thinks-fit the neck
ὃν νῦν βλέποντες εἰσάγαν θαυμάζομεν
which now seeing exceedingly we-wonder-at
Ἡρακλέος τυχόντα καὶ σεσωσμένον.
Heracles having-met and saved
οἶμαι δὲ καὐτὸν αἰχμάλωτον ἐν τάχει
I-think and also-him captive in speed
ὄψει δεθέντα τὸν δράκοντα Χοσρόην,
you-will-see bound the dragon Chosroes
εἰ μὴ λάβοι τις τὴν δίκην ὑποψίαν,
if not should-take someone the justice as-suspicion
ὡς εἴπερ ὑμῖν ἐκδοθῇ, τὰς ἀξίας
that if to-you be-should-be-given-up the worthy
λάθοι παρελθὼν ἐν βραχεῖ τιμωρίας.
he-might-escape having-passed in brief punishments
Καί μοι λογισμῶν πολλάκις κινουμένων
and to-me reasonings often being-moved
αὐτὸς κατ᾽ ἐμαυτὸν συλλαβὼν ἔφην τάδε·
myself by myself having-gathered I-said these-things
εἰ τὰς ἐν ἄστροις ὁ Πτολεμαῖος ἐκβάσεις
if the in stars — Ptolemy outcomes
καὶ πρὸς τὸ μέλλον εἶχεν ἠκριβωμένας,
also toward the future had exact

πῶς οὐ προεξήγγειλεν οἷον ἡ φύσις
how not did-he-foretell what-sort the nature
ἐπ᾽ ἐσχάτων μέλλει σε φωσφόρον βλέπειν;
at the-last-times is-about you light-bringing to-see
ἀλλ᾽ εἴπερ ἦν ἐκεῖνος εἰκότως ἄρα
but if-indeed was that-one fittingly then
τῆς γῆς ὑπερβαίνοντα τοὺς ὅρους βλέπων,
of-the earth surpassing the bounds seeing
ὕμνει σε μᾶλλον τοῖς μεταρσίοις λόγοις·
he-would-hymn you rather with-the lofty words
τῆς ἐκδρομῆς δέ, καὶ πλέον τῶν ἀστέρων,
of-the running-out and even more than-the stars
ἐν σοὶ τὰ πολλὰ προσβλέπων κινήματα
in you the many seeing movements
τὴν σὴν ἀεικίνητον ὕμνησε φρένα,
the your ever-moving would-have-hymned mind
ἄλλον νεουργηθέντα τοῖς κάτω πόλον
another newly-made for-those below pole
τὸν νοῦν τὸν ἐν σοὶ τῷ ξένῳ μαθὼν λόγῳ.
the mind the in you by-the strange having-learned word
Ταῦτα, στρατηγὲ τῶν σοφῶν βουλευμάτων,
these-things O-general of-the wise counsels
ἐν ταῖς ἀκάνθαις τῆς μάχης πεπλεγμένα
in the thorns of-the battle woven
εὑρὼν τὰ θεῖα τῶν πόνων τῶν σῶν ῥόδα,
having-found the divine of-the toils the your roses
ἄνθη τε πολλὰ ψυχικῶν ἀρωμάτων
flowers and many of-soul spices
τῶν σῶν λογισμῶν συναγαγὼν τὰ σπέρματα,
of-the your reasonings having-gathered the seeds

σοὶ τόνδε πλεκτὸν στέφανον ἐξ ἀκηράτου
to-you this woven crown from undefiled
λειμῶνος ἄρτι τῆς ἀληθείας φέρω.
meadow just-now of-the truth I-bring
ὅμως δὲ μικρῷ, καὶ βραχυδρόμῳ σκάφει
yet but in-a-small and short-running hull
τὴν σὴν θάλατταν ἐκπερᾶν εἰθισμένος
the your sea to-cross accustomed
ἥμαρτον οὐδέν, μὴ διαπλεύσας ὅλην·
I-erred in-nothing not having-sailed-through whole
ὅρος γὰρ εἰς ἄπειρον οὐχ ὁρίζεται.
a-bound for into infinite not is-bounded
Ἀλλ' ὦ στρατηγὲ τῶν ἄνω καὶ τῶν κάτω
but O general of-the above and of-the below
(τῷ γὰρ λόγῳ σου πᾶς ὑφίσταται λόγος,
to-the for word your every is-subject word
καὶ πάντα τῷ σῷ συντρέχει θελήματι·
and all-things with-the your run-together will
σὺ τὴν ἄβυσσον ἀσφαλίζῃ τῷ κράτει,
you the abyss make-safe by-the might
ποιεῖς δὲ τὴν γῆν ἐν μέσῳ μετάρσιον·
make and the earth in the-middle suspended
τοὺς οὐρανοὺς δὲ πάντας ἀψῖδος δίκην
the heavens and all of-a-vault like
τῷ σῷ κατειλεῖς, ὡς θέλεις, προστάγματι·
by-the your you-roll-up as you-wish command
σοὶ πᾶσα δούλη τῶν ὁρωμένων φύσις
to-you all (is)-slave of-the seen nature
καὶ τῶν ὑπὲρ νοῦν πᾶσα σύνδουλος κτίσις)
and of-the above mind every fellow-slave creation

αὐτός, κράτιστε, τῶν ὅλων παντόκρατορ
yourself most-mighty of-the all almighty
καὶ τῶν καθ' ἡμᾶς πραγμάτων διαιρέτα
and of-the among us affairs distributor
(καὶ γὰρ διαιρεῖς πᾶσιν, ὡς θέλεις, μόνος
and for you-distribute to-all as you-wish alone
τὰς σὰς ἐνεργεῖς τῶν χαρισμάτων δόσεις),
the your you-work of-the gifts givings
τὰς εἰς σὲ συμπλήρωσον ἡμῶν ἐλπίδας·
the in you fulfill our hopes
ἐν σοὶ γὰρ οὐκ ἔνεστιν ἐλλιπὴς χάρις.
in you for not there-is deficient grace
ἴθυνον αὐτὸς τὸν σόν, ὡς ἐπίστασαι,
direct yourself the your as you-know-how
ὑποστράτηγον, πάντα πράττειν ὡς θέλεις.
lieutenant-general all-things to-do as you-wish
ποίησον αὐτὸν πιστὸν ἀσπιδηφόρον
make him a-faithful shield-bearer
τῶν εὐσεβῶν σου πανταχοῦ προσταγμάτων.
of-the pious your everywhere commands
σὺ δεῖξον αὐτὸν τοῖς ἐναντίοις φόβον·
you show him to-the opponents a-fear
καὶ πᾶς τις ἀλλόφυλος εἰς αἷμα τρέχων
and every one foreigner to blood running
τούτῳ προκάμψει σὺν τρόμῳ τὸν αὐχένα.
to-this-one will-bend-forward with trembling the neck
ποίησον αὐτῷ τῶν φθασάντων πταισμάτων
make for-him of-the having-preceded stumbles
ἱδρῶτας, οὓς ἔσταξεν, εἰς καθάρσιον.
the-sweats which he-dripped into a-purging

λάβοι κατ᾽ ἐχθρῶν διττὰ νικητήρια,
may-he-take against enemies double prizes-of-victory
στήσοι τρόπαια καὶ παθῶν καὶ βαρβάρων.
may-he-set-up trophies both of-passions and of-barbarians
πλήρωσον αὐτόν, ὡς ἐπίστασαι μόνος,
fill him as you-know-how alone
τῆς εἰς σὲ θερμότητος, ὡς τὸν Ἠλίαν,
with-the toward you warmth like — Elijah
ὃς ἐκπυρώσας πρός σε νοῦν καὶ καρδίαν
who having-set-on-fire toward you mind and heart
πυρὶ πρὸς ὕψος εἰκότως ἡρπάζετο.
by-fire to height fittingly was-snatched
καὶ δεῖξον αὐτὸν πᾶσι Μωσέα νέον,
and show him to-all a-Moses new
ἐν τῇ κατ᾽ ἐχθρῶν εὐσεβεῖ πανοπλίᾳ
in the against enemies pious full-armor
τὸν σταυρὸν ἐκτείνοντα τῶν χειρῶν πλέον,
the cross stretching-out of-the hands more
Μωσῆν ἐκεῖνον ὃς βάτον καὶ πῦρ βλέπων
Moses that who a-bush and fire seeing
τὴν σὴν ἀπηκρίβωσεν ἐν βάτῳ φλόγα
the your made-exact in the-bush flame
καὶ τὴν βάτον μένουσαν, οὐ πεφλεγμένην·
and the bush remaining not burned
Μωσῆν ὃς ὤφθη σαρκί σοι μόνῳ μόνος,
Moses who was-seen in-flesh by-you alone alone
καὶ σαρκικῇ σε προβλέπει θεωρίᾳ,
and with-fleshly you foresees vision
τάχα προδεικνὺς καὶ θεὸν σαρκούμενον.
perhaps showing-beforehand also God being-made-flesh

κἀντεῦθεν, οἶμαι, συλλαλεῖ σοι καὶ τότε,
and-thence I-think he-talks-with you also then
ᾧ συλλαλεῖν ἔμελλε καὶ σαρκουμένῳ.
with-whom to-talk-with he-was-about also being-made-flesh
τοιοῦτον αὐτὸν καὶ τροπαιοῦχον μέγαν
such him and trophy-bearing great
καὶ σὸν στρατηγόν, ὡς θέλεις, διάπλασον.
and your general as you-wish fashion
συνευλόγησον τῷ σπορεῖ τὰ σπέρματα,
bless-with-him the sower the seeds
καὶ δὸς τὸ θεῖον τοῦδε τοῦ σπόρου γένος
and grant the divine of-this the seed race
κρατεῖν τὰ Ῥώμης εἰς τέλος γεώργια.
to-hold the of-Rome to the-end fields
τύπωσον αὐτοῖς πατρικῶν μορφωμάτων
mold for-them of-paternal formings
τὰς εὐπροσώπους ὡς ἀληθῶς εἰκόνας,
the fair-faced as truly images
ὅπως ἔσοιντο πατρὸς εἰκονίσματα,
so-that they-may-be of-the-father likenesses
κάτοπτρα πιστὰ πατρικῶν γνωρισμάτων,
mirrors faithful of-paternal tokens
τὸν νοῦν τέλειοι, τοὺς τρόπους ἐλεύθεροι,
in-the mind perfect in-the ways free
πραεῖς τὸ πνεῦμα, συμπαθεῖς τὴν καρδίαν,
gentle in-the spirit compassionate in-the heart
ἡμῖν προσηνεῖς καὶ κατ᾽ ἐχθρῶν ὀργίλοι,
to-us kindly and against enemies wrathful
ἐχθρῶν σεβόντων τοὺς θεοὺς τοὺς προσφάτους·
enemies worshiping the gods the new

χεῖρας νέμοντες ἀσεβῶς ἡπλωμένας,
hands dispensing impiously spread-out
ἐσταλμένας δὲ πρὸς τὸ λῆμμα τῆς πλάνης,
drawn-in but toward the gain of-the delusion
πόδας πρὸς αἷμα μηδαμῶς κινουμένους,
feet toward blood in-no-way moving
εἰς δ' αὖ τὸ σώζειν πανταχοῦ ταχυδρόμους.
toward and in-turn the to-save everywhere swift-running
φύλαξον αὐτῶν τὰς νοητὰς εἰσόδους,
guard their the intellectual entrances
καὶ δυσβάτους ποίησον αὐτὰς τῷ φθόνῳ,
and hard-to-tread make them for-the envy
ὃς τῇ καθ' ἡμᾶς ἀντιπίπτων οὐσίᾳ
which to-the of us opposing substance
εἴδους μέν ἐστι καὶ γένους ἀλλότριος,
in-kind indeed is and in-race alien
ὅλως δὲ μηδὲν εἰς ὑπόστασιν φέρων
at-all but nothing to subsistence bringing
δάκνειν νομίζει τὴν ὅλων ὑπόστασιν,
to-bite thinks the of-all subsistence
φίλους διαιρῶν καὶ μερίζων τὴν σχέσιν,
friends dividing and parting the affection
ἔχθραις ἀδελφῶν τοὺς ἀδελφοὺς συμπλέκων,
with-enmities of-brothers the brothers entangling
καὶ τὴν ἀδελφὴν ἐκτρέφων ὑπόκρισιν.
and the sister nourishing pretense
ὡς Σκύλλα καὶ Χάρυβδις ἠγριωμένη
like Scylla and Charybdis grown-savage
ἐν τῇ θαλάσσῃ τοῦ βίου περιτρέχειν,
in the sea of-the life to-run-around

καὶ τοῖς ὀδοῦσιν οὐκ Ὀδυσσέως μόνον,
and with-the teeth not of-Odysseus only
πάσης δὲ σαρκὸς ἀγρίως καθάπτεται.
of-all but flesh savagely fastens-on
Φύλαττε, Χριστέ, τοὺς βασιλέως κλάδους
guard O-Christ the of-the-emperor branches
ἐκ τῆς τοσαύτης τοῦ φθόνου κακουργίας.
from the so-great of-the envy villainy
φρούρησον αὐτοὺς τῇ μετ' εἰρήνης σκέπῃ
protect them with-the with peace shelter
μνήμην ἔχοντας πατρικῶν διδαγμάτων,
memory having of-paternal teachings
μνήμην διαρκῆ, καίγε καὶ πλείστης ὅτε
memory lasting and-indeed also of-very-much when
χρῄζουσιν αὐτῆς εἰς δέον τὰ πράγματα.
need it as needful the affairs

GEORGE OF PISIDIA

ΕΙΣ ΤΗΝ ΓΕΝΟΜΕΝΗΝ ΕΦΟΔΟΝ ΤΩΝ ΒΑΡΒΑΡΩΝ

On the Avar War

A painter who would show this battle's trophies should set the Virgin alone before them, for as she bore her Son without seed she now bears salvation without arms. The Avars, wild cuttings of the Turks long held back by the Danube, grew worse when the old chagan died. The emperor tried every gift and persuasion on the old chagan's son, who answered with guile, coming to the walls as if to treat. The poet hails the patriarch, the general of armed tears, who prayed and wept for the city. Slavs, Huns, Bulgars, and Scythians, in league with the Persians, joined in one assault, eighty thousand strong, while the patriarch, with the Virgin as his ally, met their engines with faith, tears, and groans; the emperor, three years in Persia, directed the defense by letters.

Τῶν ζωγράφων τις εἰ θέλει τὰ τῆς μάχης
of-the painters one if wishes the of-the battle
τρόπαια δεῖξαι, τὴν τεκοῦσαν ἀσπόρως
trophies to-show the-one having-borne without-seed
μόνην προτάξοι, καὶ γράφει τὴν εἰκόνα.
alone he-would-set-first and paints the image
ἀεὶ γὰρ οἶδε τὴν φύσιν νικᾶν μόνη,
always for she-knows-how the nature to-conquer alone
τόκῳ τὸ πρῶτον καὶ μάχῃ τὸ δεύτερον·
by-birth the first and by-battle the second
ἔδει γὰρ αὐτήν, ὥσπερ ἀσπόρως τότε,
it-was-needful for her as without-seed then
οὕτως ἀόπλως νῦν τεκεῖν σωτηρίαν,
thus without-arms now to-bear salvation
ὅπως δι' ἀμφοῖν εὑρεθῇ καὶ παρθένος
so-that through both she-may-be-found both a-virgin
καὶ πρὸς μάχην ἄτρεπτος ὡς πρὸς τὸν τόκον.
and in battle unturned as in the birth

ἐγὼ δὲ μικροὺς τῶν ἀγώνων, ὡς ῥόδα,
I and small of-the contests like roses
λόγους συνάξας ἐξ ἀκανθῶν τῆς μάχης,
words having-gathered from thorns of-the battle
σοὶ τῷ φυτουργῷ τῶν φρενοσπόρων λόγων
to-you the planter of-the mind-sown words
τούτους προσάξαι συμφερόντως εἱλόμην,
these to-bring profitably chose
ὅπως ὁ μακρὸς μὴ παρεκλύσῃ χρόνος
so-that the long not may-wear-away time
τὰ τῶν καθ' ἡμᾶς θαυμάτων κινήματα.
the of-the among us wonders movements
Ἤδη μὲν ὥσπερ δυσγενεῖς ἀποσπάδες,
already indeed as ignoble cuttings
Τούρκων ἀποσχισθέντες ἄγριοι κλάδοι,
from-the-Turks split-off wild branches
καὶ τοῖς καθ' ἡμᾶς εὐγενεστάτοις τόποις
also into-the among us most-noble places
παρεντεθέντες ὥσπερ ἐμφυλλίσματα,
inserted as grafts
καρποὺς παρεβλάστησαν ἐν τοῖς ἡμέροις
fruits sprouted-beside among the cultivated
φυτοῖς ὑποτρέφοντας ἀγρίαν φύσιν.
plants nourishing wild nature
ἐπεὶ δὲ λοιπὸν ἐκταθεῖσα τῶν κλάδων
when and henceforth having-stretched-out of-the branches
ἡ ῥίζα τῆς γῆς τοὺς ὅρους ὑφήρπασεν,
the root of-the land the bounds snatched-away
ὕλη δὲ πολλῶν βαρβάρων ἐγίνετο,
material and of-many barbarians became

οὐκ ἦν ἀνεκτὴ τοῖς παροίκοις ἡ βλάβη,
not was bearable for-the neighbors the harm
ἀλλ᾽ ὥσπερ εἰς γῆν ἐμπεσοῦσαι λαμπάδες,
but as onto earth having-fallen torches
ἡ φλὸξ ἐκείνη τοῦ γένους ἀνημμένη
the flame that of-the race kindled
τὸ τερπνὸν ἄνθος τῶν τόπων ἐβόσκετο.
the delightful bloom of-the places fed-on
ὅμως ἐπισχεῖν τὴν τοσαύτην ἀγρίαν
yet to-check the so-great wildness
ὁ ποντογείτων Ἴστρος ἴσχυσε μόλις
the sea-neighboring Ister was-able hardly
ὡς ῥευστὸν ἀντίφραγμα καὶ τεῖχος νέον.
as a-flowing barrier and wall new
τεῖχος γὰρ αὐτοῖς ἀντέβη τὰ κύματα
a-wall for to-them stood-against the waves
καὶ φραγμὸς ἑστὼς εἰς ἀείδρομον φύσιν.
and a-fence standing in ever-running nature
τέως μὲν οὖν τὸ ῥεῖθρον ἀγράφῳ κρίσει
meanwhile indeed then the stream by-unwritten judgment
τούτους μεσάζον τοὺς ὅρους ἐπήξατο·
these dividing the bounds fixed
ὅσην δὲ λοιπὸν ἡ πολιτεία βλάβην
how-much and henceforth the state harm
ἐκ τῶν ἀθέσμων βαρβάρων ὑφίστατο,
from the lawless barbarians underwent
τῶν μὲν θελόντων τοὺς πεπηγμένους ὅρους
these indeed wishing the fixed bounds
ἀεὶ σαλεύειν, τοῦ δὲ Ῥωμαίων κράτους
always to-shake the and of-the-Romans might

εἴργοντος αὐτοῖς τὰς καθ' ἡμῶν εἰσόδους,
barring to-them the against us entrances

ἔμπροσθεν ἄλλοις εὐσυνόπτως ἐγράφη,
before by-others clearly was-written

ὅσοις ἔδειξε συμπαρέρπων ὁ χρόνος
to-as-many-as showed creeping-along the time

τὴν τῶν φθασάντων ἀσφαλῶς ὑποψίαν.
the of-the having-preceded securely suspicion

ἐγὼ δὲ τοῖς ἔναγχος ἐντυχὼν χρόνοις
I and with-the lately having-met times

αὐτοπροσώπων πραγμάτων ἐφάπτομαι,
present-in-person affairs touch

εἴπερ τις ἡμῖν ἔνθεος δοίη χάρις
if-indeed any to-us inspired should-give grace

τῇ τῶν τοσούτων πράξεων ἀμετρίᾳ
to-the of-the so-many deeds unmeasuredness

στολὴν παρασχεῖν τεχνικῆς εὐμετρίας.
a-robe to-supply of-artful good-measure

Μόλις μὲν οὖν ἔσβεστο τῆς τυραννίδος
hardly indeed then had-been-quenched of-the tyranny

ὁ δυσκάθεκτος καὶ βιοφθόρος δράκων,
the hard-to-hold and life-destroying dragon

ὃς ἦγε πολλοὺς εἰς τὸ βλάπτειν αὐχένας
which had many for the to-harm necks

ὕδρας ἐκείνης τῆς λαλουμένης πλέον,
than-hydra that the talked-of more

οἱ μέχρι νῦν σπαίρουσι καὶ τετμημένοι
which until now gasp even cut

φύουσιν αὖθις· οἱ γὰρ ἰχῶρες πάλιν
grow again the for ichors again

στάζοντες ὠδίνουσι τὴν κοινὴν βλάβην,
dripping are-in-labor-with the common harm
καὶ ταῦτα πολλῶν πολλάκις τετμημένων
and that many often having-been-cut
ἐκ τοῦ παρ' ἡμῖν εὐσεβοῦς Ἡρακλέους.
by the among us pious Heracles
ὅμως δὲ ταύτην τὴν ἀφορμὴν ἡ νόσος
yet but this the opportunity the disease
ἡ τῶν καθ' ἡμᾶς προσλαβοῦσα πραγμάτων
the of-the among us having-taken-in affairs
πολλὰς ἐποίει τῶν μερῶν διαιρέσεις,
many made of-the parts divisions
καὶ τοῖς ἑαυτοῖς αἵμασι πεφυρμένον
and in-the its-own bloods mixed
ὅλον τὸ σῶμα τοῖς πόνοις ἐβόσκετο.
whole the body on-the toils fed
ἐντεῦθεν ἡμᾶς, ὡς μέλισσαι, βάρβαροι
thence us like bees barbarians
κύκλῳ περισφίγξαντες, ἐμπίδων δίκην,
in-a-circle having-bound-around of-gnats like
σπουδὴν μὲν εἶχον πᾶσαν ἐξᾶραι πόλιν,
zeal indeed had every to-remove city
πρώτην δὲ τὴν ἀνθοῦσαν ὡς πρώτην πόλιν.
first but the flourishing as first city
ἕως μὲν οὖν ἡ ῥίζα τῆς ἀποσπάδος
you-have contests noble shorthand-writers
οἳ τὸν νόμον γράψουσιν οὐ γραφῇ νόθῳ
who the law will-write not in-writing bastard
ἀλλ' ἐξ ἐρυθρῶν, ὡς προσήκει, γραμμάτων·
but from red as it-befits letters
τὸ σὸν γὰρ αἷμα τοῖς γραφεῦσιν ἀρκέσει.
the your for blood for-the writers will-suffice
Πλούταρχε, σίγα τοὺς παραλλήλους γράφων.
O-Plutarch be-silent the parallels writing
τί πολλὰ κάμνεις καὶ στρατηγοὺς συλλέγεις;
why much do-you-toil and generals gather
τὸν δεσπότην ἔκφραζε, καὶ γράφεις ὅλους.
the master describe and you-write all
ἤδη γὰρ ὁ Πλούταρχος ἐξᾶραι θέλων
already for — Plutarch to-exalt wishing
τὸν τοῦ Φιλίππου καὶ πρὸς ὕψος ἁρπάσαι
the(-son) — of-Philip and to height to-snatch
ἔσπευδε δεῖξαι πᾶσιν ὡς ἐναντίαι
hastened to-show to-all that contrary

κατεῖχον αὐτὸν ἀντιπράττουσαι τύχαι·
held him working-against fortunes
οὐκ ἠγνόει γάρ, δεινὸς ὢν λογογράφος,
not he-was-ignorant for clever being prose-writer
ὡς εἴπερ αὐτὸν εὐτυχοῦντα συγγράφοι,
that if-indeed him fortunate he-should-write-up
δώσει τὸ νικᾶν ἀντ' ἐκείνου τῇ τύχῃ.
he-will-give the to-conquer instead-of him to-the fortune
ἀλλ' εἶχεν, ὦ Πλούταρχε, τῆς τύχης πλέον
but had O Plutarch than-the fortune more
ὁ σὸς στρατηγὸς δραστικοὺς τοὺς συμμάχους.
the your general effective the allies
τίς δὲ στρατὸν γέμοντα Περσικοῦ φόβου,
who and an-army full of-Persian fear
παρ' οἷς τὸ φεύγειν ἦν ἀκίνδυνος μάχη
among whom the to-flee was danger-free battle
φύσις τε λοιπὸν ἐξ ἔθους ἐγίνετο,
nature and henceforth from custom became
ἔπεισεν ὅπλοις καὶ καθώπλισε λόγοις,
persuaded with-arms and armed with-words
καὶ τὴν ἐν αὐτοῖς δειλίαν μεθαρμόσας
and the in them cowardice having-changed
εὐτολμίαν ἔδειξε τὴν ἀτολμίαν,
as-daring showed the timidity
εἰ μὴ τὸ σὸν φρόνημα καὶ τὸ σὸν κράτος
if not the your mind and the your might
ἤγειρεν αὐτούς, ὡς ἀκινήτους λίθους
raised them like immovable stones
τὴν γῆν βαροῦντας τοῖς ἀκάρποις φορτίοις;
the earth weighing-down with-the fruitless loads

Ποῦ τῶν Ἀθηνῶν οἱ πρὸ τούτου ζωγράφοι,
where — of-Athens the before this painters
οἱ τὸν στρατηγὸν Τιμόθεον ἐν ταῖς μάχαις
who the general Timotheus in the battles
κοιμώμενον γράφοντες, εἶτα τὴν τύχην
sleeping painting then the fortune
ἐκεῖθεν ἔνθεν ἐνδιδοῦσαν τὰς πόλεις;
thence hence giving-up the cities
δέον γὰρ αὐτοῖς νῦν ἐναντίως γράφειν,
it-being-needful for to-them now contrariwise to-paint
τὴν μὲν τύχην σοι πανταχοῦ κοιμωμένην,
the indeed fortune for-you everywhere sleeping
μᾶλλον δὲ τοῖς σοῖς ἀντερίζουσαν πόνοις,
rather and with-the your vying toils
σὲ δὲ στρατηγὸν διπλοκινδύνου μάχης,
you and as-general of-a-doubly-dangerous battle
καὶ πρὸς τύχας καμόντα καὶ πρὸς βαρβάρους.
both against fortunes having-toiled and against barbarians
Πόθεν μετῆλθεν εἰς βαφὴν ἐναντίαν
whence went-over into dye contrary
ἡ τῶν τριχῶν σου χρυσομίμητος κόμη;
the of-the hairs your gold-imitating locks
ἔβαψεν αὐτὴν ἡ χιὼν τῶν φροντίδων.
dyed it the snow of-the cares
καὶ ποῦ μετέστη τῶν μελῶν ἡ λευκότης;
and where moved of-the limbs the whiteness
πύρωσις αὐτὴν ἀνταναεῖλεν ἡλίου.
the-burning it took-away of-the-sun
ἀπεικὸς οὐδέν, ἀλλ' ὅμως στοχάζομαι,
unlikely nothing but yet I-conjecture

ἐν τῷ διαχεῖσθαι τοὺς ἱδρῶτας τῶν πόνων
in the to-be-poured-out the sweats of-the toils
ἡ λευκότης μετῆλθεν εἰς τὴν καρδίαν.
the whiteness went-over into the heart
Οὐκ ἤρκεσάν σοι πρὸς τυράννους αἱ μάχαι,
not sufficed for-you against tyrants the battles
οὓς ἡ πανάλκης ἐξεπόρθησε κρίσις
whom the all-mighty sacked judgment
θᾶττον λογισμοῦ, καὶ σχεδὸν πρώτης τύχης,
quicker than-reasoning and almost than-first fortune
εἴ πέρ τις ἔστι καὶ τυραννίδος τύχη·
if indeed any is also of-tyranny fortune
οὐκ ἤρκεσάν σοι φροντίδων πολυτρόπων
not sufficed for-you of-cares manifold
ἐμφυλίων τε καὶ ξένων καὶ βαρβάρων
civil both and foreign and barbarian
ἄλλαι μετ᾽ ἄλλας συμπλοκαὶ καὶ συγχύσεις.
others after others entanglements and confusions
οὐκ ἤρκεσάν σοι τοῦ στρατοῦ τὰ πράγματα,
not sufficed for-you of-the army the affairs
ἀλλ᾽ εἰς τοσαύτην εὐσεβῶς ἀπληστίας
but to so-great piously of-greed
ὄρεξιν ἦλθες ὥστε καὶ τῶν ἐγκάτων
appetite you-came that even the entrails
ἐντὸς παρελθεῖν τῆς ἀθέσμου Περσίδος.
within to-pass of-the lawless Persia
Ποίους στρατηγοὺς ἢ Σταγειρίτας ἔχων
what generals or Stagirites having
ἐπῆλθες εἰς γῆν εὐτυχούντων βαρβάρων;
did-you-come into the-land of-fortunate barbarians

οὐ τὰς ἀπείρους τῆς ὁδοῦ διαστάσεις
not the boundless of-the road distances
ὁ σὸς λογισμὸς ἐννοῶν συνεστάλη,
the your reasoning considering was-drawn-in
βλέπων μάλιστα καὶ τὰ νεῦρα τῆς μάχης,
seeing most also the sinews of-the battle
τὸν πλοῦτον, ἐκρεύσαντα πρὸς τοὺς βαρβάρους.
the wealth having-flowed-out to the barbarians
οὐ μητρὸς οἶκτος πυρσὸν ἔμφυτον πνέων
not of-a-mother pity a-beacon innate breathing
ἐπέσχεν ὑμᾶς· οὐ τὰ τέκνα σου τότε,
held-back you not the children your then
οἱ ψυχαγωγοὶ μαργαρῖται τοῦ βίου,
the soul-leading pearls of-the life
στοργῇ δεθέντα φυσικῇ παρεκράτουν.
by-affection bound natural held-you-back
οὐκ εὐλαβήθης τὰς ἐνοχλούσας νόσους,
not you-were-wary-of the troubling diseases
οὐ τὰς δι᾽ ἡμᾶς ἀντιπραττούσας τύχας,
not the because-of us working-against fortunes
εἰ χρὴ καλεῖν με τὰς ἁμαρτίας τύχας·
if it-is-needful to-call me the sins fortunes
ἀλλ᾽ ὡς ἄσαρκος, καὶ μόνος δοκῶν ἔχειν
but as fleshless and alone seeming to-have
ἢ σῶμα χαλκοῦν ἢ σιδηρᾶν καρδίαν,
either a-body bronze or iron heart
ἀπῆλθες, ἐστράτευσας, ὡπλίσω πάλιν
you-went-away campaigned armed-yourself again
εἷς ἀντὶ πάντων. ὦ φιλάνθρωπος ζέσις
one instead-of all O man-loving fervor

πάσης ἀνάγκης δραστικῆς ὑπερτέρα.
of-all necessity effective superior
Ποίαν, στρατηγέ, χειρὸς ἔκτασιν φέρων,
what O-general of-hand stretching bringing
ποίαν δὲ μέχρι τῶν νεφῶν εὑρὼν βάσιν,
what and up-to the clouds having-found footing
σεαυτὸν ἐξέτεινας, ὥστε σε φθάσαι
yourself you-stretched-out so-that you to-reach
καὶ τὴν πρὸς ἄκρον ὑπερῃρμένην τύχην
even the to the-height lifted-up fortune
τοῦ πυρσολάτρου Χοσρόου κατασπάσαι;
of-the fire-worshiper Chosroes to-drag-down
ἢ δῆλον ὡς ἡ χεὶρ μὲν ἐκ τῶν ἰκμάδων
or clear that the hand indeed from the moistures
τῆς εὐσεβείας εὐκόλως ἐτείνετο,
of-the piety easily was-stretched
πέτρα δέ σοί τις οὐρανῶν ὑπερτέρα
a-rock and for-you a than-the-heavens higher
ὁ Χριστὸς ἐγγὺς εἰς βάσιν παρίστατο,
— Christ near for footing stood-by
δι᾽ οὗ τὸν ἐχθρὸν ἐν κακοῖς ἐπῃρμένον
through whom the enemy in evils lifted-up
ἐκ τῶν νεφῶν καθεῖλες ἐν τῷ Ταρτάρῳ.
from the clouds you-brought-down into — Tartarus
Ποίαν παρῆλθες μὴ τεθλιμμένος τρίβον
what did-you-pass not afflicted path
τῆς γῆς ἁπάσης δυσσεβῶς πεφλεγμένης;
of-the earth all impiously burned
τὸ πῦρ γὰρ εἰκῇ προσκυνῶν ὁ Χοσρόης
the fire for at-random worshiping — Chosroes

οὐκ εἰς τὸ σώζειν εἶχεν ἀλλ᾽ εἰς τὸ φλέγειν.
not for the to-save had but for the to-burn

πῶς οὖν παρῆλθες τὰς ἐρήμους ὡς πόλεις,
how then did-you-pass the deserts as cities

εἰ μὴ δι᾽ αὐτῆς τῆς νοουμένης πύλης
if not through the-very the perceived-by-the-mind gate

ἐλθὼν ἐδείχθης ἀπλανὴς ὁδοιπόρος;
having-come you-were-shown an-unwandering wayfarer

195 Ὦ νῦν ἀληθῆ δεικνύων τὴν πορφύραν·
O now true showing the purple

πορφύρεται γὰρ εἰς βαφὴν αἰωνίαν
is-made-purple for into dye eternal

ἱδρῶσι τοῖς σοῖς εὐσεβῶς ἡμαγμένη.
with-sweats the your piously bloodied

μένει δὲ λευκή, καίπερ οὖσα πορφύρα·
it-remains and white although being purple

καὶ τῇ νέᾳ στίλβουσα καλλιεργίᾳ,
and with-the new gleaming fine-workmanship

200 ὅσον φορεῖται, μειζόνως λαμπρύνεται.
as-much-as it-is-worn more-greatly is-brightened

Χαῖρε, στρατηγὲ κοσμικοῦ γενεθλίου·
hail O-general of-the-world's birthday

τὸν σὸν γὰρ ἆθλον πᾶσα χώρα καὶ πόλις
the your for contest every land and city

ἔμπρακτον οἶδε τοῦ βίου γενέθλιον.
active knows of-the life birthday

τὸν πεντάπλουν εἰς ἄκρον ἤνυσας δρόμον
the fivefold to the-end you-completed course

205 ἱδρῶν, ἐλαύνων, ἀντεγείρων, συντρέχων,
sweating driving raising-against running-together

ἕως καθεῖλες παραβάτην Χοσρόην.
until you-brought-down the-transgressor Chosroes
κατεπλάγησαν οἱ πρὸ σοῦ διφροστάται
were-astounded the before you charioteers
ἐν τῇ τοσαύτῃ τοῦ δρόμου παρεκτάσει
in the so-great of-the course extension
ὁρῶντες ὑμῶν τοὺς τροχοὺς βεβηκότας.
seeing your the wheels having-gone
καὶ πᾶς ὁ τῆς γῆς δῆμος ἐκ τῶν τεττάρων
and all the of-the earth people from the four
ὕμνησε πλευρῶν ἐν θεάτρῳ τῷ βίῳ·
hymned sides in the-theater the life
κοσμοῦσι πάντες σοῦ φανέντος τὴν πόλιν,
adorn all you having-appeared the city
ἄνθη δὲ συλλέξαντες ἐψυχωμένα
flowers and having-gathered ensouled
στέφουσιν ὑμᾶς ταῖς προσευχαῖς ὡς ῥόδοις.
crown you with-the prayers as with-roses
τὰς κοσμικὰς γὰρ ἐξανοίγει σοι θύρας
the cosmic for opens to-you doors
ὁ τῶν ἀγώνων βραβευτὴς καὶ δεσπότης,
the of-the contests umpire and master
δι᾽ ὧν προελθὼν παγγενὴς νικηφόρος
through which having-come-forth all-race victor
ἔχεις ἄχραντον τὴν ἀφ᾽ ὕψους εἰκόνα.
you-have undefiled the from on-high image
Οὕτως ἀπλήστως ἐκχυθεὶς πρὸς τοὺς λόγους
thus insatiably poured-out toward the words
στέργω δι᾽ ὑμᾶς τὴν καλὴν ἀπληστίαν.
I-cherish because-of you the fair greed

τί πρῶτον εἰπών, ποῖα συγγράφων μέσα,
what first having-said what writing as-middle
τῶν ἐσχάτων σου δράξομαι προοιμίων;
of-the last your shall-I-grasp preludes
ἀντεμπλοκὴ γὰρ συγκροτεῖται καὶ μάχη
a-counter-entanglement for is-joined and battle
τῶν σῶν ἀγώνων νῦν ὁμοῦ μεμιγμένων,
of-the your contests now together mixed
καὶ μῖξις ὥσπερ γίνεταί μοι καὶ στάσις,
and mixing as-it-were happens to-me and standstill
ὥσπερ ῥεόντων τῶν ποταμῶν τῶν ὀμβρίων
as flowing the rivers the rain-fed
ὁ πόντιος ῥοῦς ἵσταται μεμιγμένος.
the sea current stands mixed
οὕτω γὰρ ἐκβλύσαντες ἐξ ἑνὸς πόρου
thus for having-gushed from one channel
τῶν σῶν ἱδρώτων οἱ ποταμοὶ μεμιγμένοι
of-the your sweats the rivers mixed
ὠθοῦσι καὶ σφύζουσιν ὥσπερ ἐκ βίας
push and throb as-if from violence
ἄλλος τὸν ἄλλον, ἐκδραμεῖν ἠπειγμένοι
one the other to-run-out hastening
καὶ ταῖς ἀβύσσοις ἐντεθῆναι τῶν λόγων.
and in-the abysses to-be-placed of-the words
καί πού τις αὐτῶν εἴπερ ἐμβριθεστέρῳ
and somewhere one of-them if-indeed with-weightier
τάχει προκύψει πρὸς τὸν ἄλλον, εὐθέως
speed should-peep-out toward the other at-once
ὁ νοῦς μεταστὰς ἡδέως μερίζεται,
the mind having-moved gladly is-divided

ὡς ἐξ ἀνάγκης λοιπὸν ἐστενωμένος
as from necessity henceforth straitened
εἴργειν ἑαυτοῖς τὴν φορὰν τῆς ἐξόδου,
to-bar to-themselves the stream of-the exit
ἕως ὁ σὸς νοῦς καὶ τὸ πηγαῖον στόμα
until the your mind and the spring-like mouth
λύσει τὰ πολλὰ τῶν λόγων ἐμφράγματα.
will-loose the many of-the words blockages
ὅμως ἁπλώσας ῥιψοκινδύνῳ θράσει
yet having-spread with-risk-running boldness
τὸν νοῦν, ἐπ᾽ αὐτῶν νήχομαι τῶν πραγμάτων.
the mind on the-very I-swim the affairs

II · THE LABORS OF HERACLIUS

Rome answers that her master stands alone. He brought down the tyrant Phocas with the Virgin's image, not a Gorgon's head, and healed the city's factions; facing the Avars, the Slavs, and the Persians, he bore every care himself. Passing over the crossing of the Euphrates, the poet comes to Darartasis, Ardashir's foundation, which Heraclius took by fear alone, quenching its sacred fire.

Ῥώμη, δίκαζε τὴν ἰσόρροπον κρίσιν·
O-Rome judge the equal-weighted judgment
πολλῶν στρατηγῶν εὐπορήσασα φράσον
of-many generals having-abounded tell
ποίῳ δοκεῖ σοι συμβαλεῖν τὸν δεσπότην;
to-what seems to-you to-compare the master
μόνος τετάχθω, φησίν, οὐκ ἔχων ἴσον.
alone let-him-be-ranked she-says not having an-equal
Ἤδη μὲν οὖν ἔσβεστο τῆς τυραννίδος
already indeed then had-been-quenched of-the tyranny

τὸ πῦρ ὁ Φωκᾶς, ἡ καταιγίς, ἡ μέθη,
the fire — Phocas the hurricane the drunkenness
ὁ τῶν καθ' ἡμᾶς συμφορῶν πρωτεργάτης,
the of-the among us misfortunes first-worker
ἡ τῶν ἐν ὕπνοις φασμάτων τιμωρία,
the of-the in sleep apparitions punishment
ὁ τὰς καθ' ἡμᾶς αἱματώδεις ἐκχύσεις
the-one the among us bloody outpourings
ἔχειν νομίζων εἰς τρισάθλιον κράτος,
to-have thinking for thrice-wretched might
τῆς γῆς τὸ κῆτος, τὸ πρόσωπον Γοργόνος.
of-the earth the sea-monster the face of-Gorgon
οὐχ εἶλες αὐτοὺς ὡς ὁ Περσέως πλάνος,
not you-took them as the of-Perseus wandering
ἀλλ' ἀντιτάξας τῷ φθορεῖ τῶν παρθένων
but having-set-against the corrupter of-the virgins
τὸ φρικτὸν εἶδος τῆς ἀχράντου παρθένου·
the awesome form of-the undefiled virgin
αὐτῆς γὰρ εἶχες τὴν βοηθὸν εἰκόνα,
her for you-had the helping image
ὅτε προσῆλθες τῇ βορᾷ τοῦ θηρίου.
when you-came to-the prey of-the beast
καθεῖλες αὐτόν, οὐ κρεμασθεῖσαν κόρην
you-brought-down him not a-hanged girl
μίαν σεσωκώς, ἀλλὰ τὰς πόλεις ὅλας.
one having-saved but the cities whole
Τοιοῦτον οὐκ ἦν, κἂν γενέσθαι τις λέγοι,
such not was even-if to-have-been one should-say
τὸ πρὶν φονευθὲν κῆτος ἐξ Ἡρακλέους,
the formerly slain sea-monster by Heracles

οἷον καθεῖλεν Ἡρακλῆς ὁ δεσπότης
as brought-down Heracles the master
κῆτος, τύραννον, οὐ μίαν φθεῖρον πόλιν,
a-sea-monster a-tyrant not one destroying city
ἀλλ' ἐκθερίζον τὴν πολιτείαν ὅλην.
but reaping-out the state whole
πλὴν μισθὸς ὑμῖν ἐστὶν εὐτρεπισμένος,
yet a-reward for-you is prepared
οὐ μῦθος ἵππῳ τῆς φθορᾶς ἀνωτέρῳ·
not a-myth with-a-horse than-the corruption higher
μῦθος γὰρ οὗτος καὶ κεχρωσμένος ψόφος,
a-myth for this and colored noise
εἰ μή τις, ὡς σύ, γνωστικοὺς ἔχων τόνους
if not one like you knowing having tensions
ἀλληγορήσει τὴν σπορὰν τῶν ἀρσένων
will-allegorize the seed of-the males
ἄφθαρτον εἶναι τῇ μεταδόσει τοῦ γένους,
incorruptible to-be by-the handing-on of-the race
ἄλλου μετ' ἄλλον ζωπυρούντων τὴν φύσιν.
one after another kindling the nature
οὐχ οὗτος ὑμῖν, μηδὲ τοιοῦτον λάβοις
not this for-you nor such may-you-take
μισθὸν δι' ἡμᾶς, ἀλλ' ὀχήματος τύχοις
reward because-of us but a-chariot may-you-obtain
ζωῆς τρεχούσης εἰς ὁδοὺς ἀφθαρσίας.
of-life running into roads of-incorruption
Ἐπεὶ δὲ λοιπὸν καὶ τὰ τοῦ δήμου θράση
when and henceforth also the of-the people boldnesses
συνεκτραπέντα τοῦ τυράννου τῇ μέθῃ
turned-aside-with of-the tyrant in-the drunkenness

ἔνοικον εἶχε τῶν μελῶν ἀταξίαν,
indwelling had of-the limbs disorder
σχεδὸν δὲ πάντας τοὺς πολίτας ἡ πόλις
nearly and all the citizens the city
πεφυρμένους ὤδινε Κενταύρου δίκην
confused was-in-labor-with of-a-Centaur like
(τετμημένοι γὰρ καὶ κακῶς μεμιγμένοι
cut for and evilly mixed
πρὸς τὰς ἑαυτῶν ἠσχολοῦντο συγχύσεις),
at the their-own were-busied confusions
ἰατρὸς ἐλθὼν κυρίως γαληνίας,
a-physician having-come properly of-calm
καὶ τὰς ἀτάκτους ψηλαφῶν ἀρτηρίας,
and the disorderly feeling arteries
σφύζουσαν αὐτὸς οὐ παρεῖδες τὴν νόσον,
throbbing you-yourself not overlooked the disease
καὶ τμητικῇ μὲν οὐδαμῶς διαιρέσει
and with-cutting indeed in-no-way division
οὐδ' αὖγε τοῖς στύφουσιν ἐχρήσω τόνοις,
nor in-turn the astringent you-used tensions
μαλακτικῷ δὲ καὶ λαλοῦντι φαρμάκῳ
with-softening but and speaking drug
ἔπεισας αὐτοὺς ἐκ μόνης εὐταξίας
you-persuaded them from only good-order
τὸ θηριῶδες τοῦτο μὴ νοσεῖν πάθος,
the bestial this not to-be-sick affliction
ἄνω δὲ μᾶλλον τὴν λογικὴν ἔχειν φύσιν,
above but rather the rational to-have nature
κάτω δὲ ῥῖψαι καὶ καλῶς ἐκλακτίσαι
below and to-throw and well to-kick-off

τὸ κτηνόμορφον τῆς ἀταξίας τέρας,
the beast-shaped of-the disorder portent
μή πως παρατραπεῖσα τῆς τετριμμένης
lest somehow having-turned-aside from-the beaten-path
ἡ φατνιῶσα τῶν φρενῶν ἀταξία
the manger-bound of-the minds disorder
τὸν νοῦν ἑαυτῇ συμπλανώμενον λάβῃ.
the mind with-itself wandering-with may-take
οὕτως ἄριστα τοὺς διεστῶτας τρόπους
thus best the standing-apart ways
τῶν δημαγωγῶν συμβιβάζεις ταγμάτων,
of-the populace-leading you-reconcile ranks
καὶ σύνθετόν τι ζῶον ἐξ ἐναντίων
and composite a living-creature from opposites
συνθεὶς λογισμῶν εἰς ἕνωσιν ἥρμοσας,
having-composed of-reasonings into union you-fitted
καὶ τοὺς ἀποσκιρτῶντας ἀλλήλων τρόπους
and the leaping-away from-one-another ways
εἰς ἓν συνῆψας, καὶ κατώρθωσας μόνος
into one you-joined and accomplished alone
ὃ μὴ κατορθοῦν εὐπόρησεν ἡ φύσις.
what not to-accomplish was-able the nature
τούτῳ θέλοντες τῷ μεγίστῳ πράγματι
to-this wishing the greatest deed
μνήμην συνάψαι συμφερόντως ἡ πόλις
memory to-join profitably the city
γράφουσιν ἡμῖν τῇ κάτωθεν εἰκόνι·
paint for-us with-the from-below image
εἰ τὴν ἄνω γὰρ ἄλλον εἶχες ζωγράφον.
if the above for another you-had painter

Ἐπεὶ δὲ πάντας, οἰκοδεσπότου δίκην,
when and all of-a-householder like
τοὺς ἔνδον ἡμῶν ἐξεχέρσωσας τόπους,
the within us you-cleared places
καὶ τὰς ἐνοίκους τῶν παθημάτων φλέβας
and the indwelling of-the passions veins
τῷ σῷ κενώσας εὐσεβεῖ καθαρσίῳ
by-the your having-emptied pious purge
τῆς ἔνδον ὠμότητος εἶρξας τὴν βλάβην,
of-the within savagery you-barred the harm
ἐκτὸς δὲ λοιπὸν καὶ τὰ τῆς Θράκης νέφη
outside and henceforth also the — of-Thrace clouds
χειμῶνας ὑμῖν ἐξανέστησε μάχης,
winters for-you raised of-battle
καὶ πῇ μὲν ἡ Χάρυβδις ἡ Σκυθότροφος
and here indeed — Charybdis the Scythian-nursed
σιγᾶν δοκοῦσα λῃστρικῶς ὠδοστάτει,
to-be-silent seeming piratically ambushed-the-road
πῇ δ' αὖ συνεκθέοντες οἱ Σκλάβοι λύκοι
there and in-turn running-out-together the Slav wolves
τῇ γῇ συνῆπτον τῆς θαλάττης τὸν σάλον,
with-the land joined of-the sea the tossing
καὶ τοῖς παρ' αὐτῶν αἵμασι πεφυρμένος
and with-the by them bloods mixed
ὁ ῥοῦς ἐρυθρὸς ἐκ βίας ἐγίνετο,
the current red from violence became
κἀκεῖθεν ὥσπερ ἀντερίζουσα πλέον
and-thence as-if vying more
ἀντιπρόσωπος ἡ δυσάντητος θέα
face-to-face the hard-to-meet sight

τῆς Γοργόνος προσῆκτο τῆς τοῦ Περσέως,
— *of-Gorgon was-brought-near the(-sight) — of-Perseus*
καὶ πᾶς ὁ κόσμος ἦν ὁμοῦ πεφυρμένος,
and all the world was together confused
σὲ δὲ στρατηγεῖν ἦν ἀνάγκη τῆς μάχης,
you and to-command was necessity of-the battle
τυχὼν μὲν ἄλλος ἐν τοσαύτῃ συγχύσει
having-chanced indeed another in so-great confusion
οὐκ ἂν κυβερνᾶν ῥᾳδίως ἠνέσχετο,
not — to-steer easily would-have-endured
ὑμῖν δὲ δόξαν ὥστε πᾶν τὸ φορτίον,
to-you but it-having-seemed-good so-that all the load
εἴπερ δυνηθῇς, ἀντὶ πάντων βαστάσαι,
if-indeed you-should-be-able instead-of all to-bear
ἀπηγόρευσας τῶν σεαυτοῦ φροντίδων
you-renounced the your-own cares
καὶ σὰς ἐποίου τὰς ἁπάντων φροντίδας.
and yours you-made the of-all cares
καὶ πολλάκις τὸ τόξον ἐντεῖναι θέλων
and often the bow to-string wishing
βαλεῖν τε τὴν Χάρυβδιν, εἰς τὴν Γοργόνα
to-shoot and — Charybdis to — Gorgon
τὴν πετροποιὸν τῶν θεατῶν εἰκόνα
the stone-making of-the beholders image
στραφεὶς ἐπέσχες τὴν βολὴν ἠπειγμένην.
having-turned you-checked the shot hastened
καὶ δὴ κατ᾽ αὐτῆς ἀντιβάλλοντες βέλος
and indeed against it shooting-back an-arrow
ἀνθεῖλκον ὑμᾶς οἱ φιλάρπαγες λύκοι.
drew-back you the plunder-loving wolves

χρόνῳ δὲ μικρῷ συγκροτῶν ἐκαρτέρεις
in-time and short assembling you-endured
μίαν κατ᾽ αὐτῶν τριπλοκίνδυνον μάχην.
one against them triply-dangerous battle
Ἐπεὶ δὲ ταῦτα τῆς ἀνάγκης τὰ ξίφη
when and these of-the necessity the swords
κοιναῖς καθ᾽ ἡμῶν προσβολαῖς τεθηγμένα
by-common against us attacks sharpened
ταῖς σαῖς μερίμναις ἐν βραχεῖ διῃρέθη,
by-the your cares in brief were-divided
χειμὼν δὲ λοιπὸν οὐ μόνον τῶν πραγμάτων,
winter and henceforth not only of-the affairs
καὶ τῆς φορᾶς δὲ τοῦ χρόνου κατεκράτει,
and of-the course too of-the time prevailed
ἐν ᾧ μάλιστα ταῖς μερίμναις εἰσόδους
in which most for-the cares entrances
τῆς νυκτὸς ὠδίνουσιν αἱ παρεκτάσεις,
of-the night are-in-labor-with the lengthenings
γνώμης ἐγίνου τὰς ἀπ᾽ ἄκρον ἡλίου,
of-judgment you-became the from the-height of-the-sun
ὡς ἦν ἐφικτόν, ἐκτεμεῖν περιστάσεις·
as it-was attainable to-cut-out circumstances
πηγὴν γὰρ ἤδεις τῶν κακῶν τὴν Περσίδα.
the-spring for you-knew of-the evils — Persia
καὶ δὴ τὸ πρᾶγμα σχηματίζων ἐπλάσω
and indeed the deed disguising you-feigned
σαυτὸν παρασχεῖν τοῖς πρὸ ἄστεως τόποις,
yourself to-give to-the before the-city places
οὐχ ὥς τι τερπνόν, καὶ μάλιστα τοῦ χρόνου
not as something delightful and especially the time

χειμῶνος ὄντος, εὐπορεῖν εἰθισμένους,
winter being to-enjoy accustomed
ἀλλ᾽ ὥστε τοῖς σοῖς μηδαμῶς βουλεύμασι
but so-that with-the your in-no-way counsels
τὰ τῶν πολιτῶν συμπλέκεσθαι πράγματα,
the of-the citizens to-be-entangled affairs
μηδ᾽ αὖ γενέσθαι βλαπτικοῖς κατασκόποις
nor in-turn to-become to-harmful spies
ἔκδηλα τῶν σῶν σκεμμάτων τὰ δόγματα·
clear of-the your deliberations the decisions
καλύπτεται γὰρ ὡς νέφει κατάσκοπος
is-hidden for as by-a-cloud a-spy
ὄχλῳ παρεισδύς, καὶ δυσεύρετος μένει.
into-the-crowd having-slipped and hard-to-find remains
ἐκεῖσε γοῦν, κράτιστε, συλλέγων ὅλον
there at-any-rate most-mighty gathering whole
τὸν νοῦν σεαυτοῦ καὶ σχολῇ σοφῇ τρέφων,
the mind your-own and with-leisure wise nourishing
πάσας ἀνέγνως διατάξεις τῶν νόμων
all you-read ordinances of-the laws
τὰς ἐξ ὅπλων καὶ πραγμάτων ὡρισμένας.
the from arms and deeds defined
ἀλλ᾽ ἦν τὰ κρυπτὰ τοῦ σκοποῦ σου δόγματα
but were the hidden of-the aim your decisions
λόγων ἀφορμαὶ τοῖς λαλεῖν εἰθισμένοις,
of-words occasions for-those to-chatter accustomed
παρ᾽ οἷς ὀλισθήσασα τῆς ἔσω θύρας
with whom having-slipped of-the inner door
ἡ γλῶττα φεύγει καὶ βοᾷ πλανωμένως.
the tongue flees and shouts wanderingly

ὅμως συνεῖδες ταῦτα συγγνώμην ἔχειν·
yet you-understood these-things pardon to-have
ἔδοξε γάρ πως ἐξ ἀνάγκης εὐλόγου
it-seemed for somehow from necessity reasonable
τοῦ πρὸς σὲ φίλτρου δυσφορεῖν ἡ κοινότης,
from-the toward you love to-chafe the community
οὐκ ἐκ φθόνου τὴν γλῶτταν ἠρεθισμένοι
not from envy the tongue roused
(τοῖς βασκάνοις γὰρ οὐ φθονοῦνται φροντίδες)
by-the envious for not are-envied cares
ἀλλ᾽ οὐ στέγοντες τὴν ἀπουσίαν βλέπειν,
but not enduring the absence to-see
κἂν πολλάκις τυχῶσιν ὠφελημένοι.
even-if often they-happen benefited
Ἐνταῦθα τὸν πρὶν Ἠλίαν μιμούμενος,
here the formerly Elijah imitating
καὶ ταῖς ἐρήμοις ἐμβατεύων ἐτρέφου
and the deserts entering you-were-nourished
οὐ βρῶσιν, ὡς ἔδειξας, ἀλλὰ φροντίδας·
not on-food as you-showed but on-cares
οὐκ ἦν γὰρ ἔργον πολεμικῶν συνταγμάτων,
not was for a-work of-military formations
ὃ μὴ μετῆλθες τῇ σχολῇ τῶν σκεμμάτων
which not you-pursued in-the leisure of-the deliberations
τυπῶν, προτάττων, εὐτρεπίζων, προσγράφων,
molding arraying-first preparing prescribing
καὶ σχηματουργῶν τῆς μάχης τὰς εἰκόνας
and fashioning of-the battle the images
ἄλλοις, σεαυτῷ, τῷ στρατῷ, τοῖς ἔθνεσιν,
for-others for-yourself for-the army for-the nations

ὡς ἄν τις εἴπῃ περιβαλὼν ἐν συντόμῳ,
as — one might-say embracing in brief
πρὸ τῶν ἀγώνων τοὺς ἀγῶνας συλλέγων
before the contests the contests gathering
καὶ τὴν νίκην δρῶν ἐντελῶς πρὸς τῆς μάχης.
and the victory doing completely before the battle
Ἄλλοι μὲν οὖν γράψουσιν, οἷς δοκεῖ φίλον,
others indeed then will-write to-whom it-seems dear
ὄρη, φάραγγας καὶ στενὰς διεξόδους,
mountains ravines and narrow passages
καὶ τὰς πετρώδεις ἐξοχὰς καὶ δυσβάτους,
and the rocky projections and hard-to-tread
δι᾽ ὧν παρῆλθες ὡς πνοὴ ταχυδρόμος,
through which you-passed like a-breath swift-running
ὡς οὔτε πέτραις ἐκ βελῶν ἀφιγμέναις
so-that neither with-rocks from missiles arrived
ἔνεστι βάλλειν, οὔτε μὲν ὀρύγμασι
it-is-possible to-shoot nor indeed with-trenches
τὴν γῆν ὑπογλύφοντας ἑλκύσαι κάτω.
the earth undermining to-draw down
ἀλλ᾽ εἰσὶ τείχη τοῖς ἐναντίοις ὄρη,
but are walls for-the opponents mountains
τὰς κλεῖς ἔχοντα τῆς ὁδοῦ πεφραγμένας,
the keys having of-the road fenced
ἠβουλόμην δὲ καίπερ ὢν βραδυγράφος
I-wished and although being slow-writing
τὴν συλλογήν σου τῶν στρατευμάτων γράφειν,
the gathering your of-the armies to-write
τὴν εἰς ἅπαν γῆς ἐσκεδασμένην μέρος,
the into every of-earth scattered part

βουλαῖς δὲ ταῖς σαῖς ἐν βραχεῖ συνηγμένην.
by-counsels and the your in brief gathered
οἱ σοὶ γὰρ αὐτοὺς ἦγον ἑκτικοὶ λόγοι,
the your for them led attractive words
ὡς εἴ τις ἄλλος ἐκ μιᾶς ὑδραργύρου
as if any other from one quicksilver
σύρει τὰ χρυσᾶ συλλέγων σπαράγματα.
drags the golden gathering fragments
πλὴν ταῦτα σιγῶν καὶ τὸν Εὐφράτου πόρον,
yet these-things passing-in-silence and the of-Euphrates passage
δι' οὗ τρέχων παρῆλθες Εὐφράτου πλέον,
through which running you-passed than-Euphrates more
τὴν δραστικήν τε καὶ μετ' ἔργων ἐμπόνων
the effective both and with deeds laborious
ὡς ἐν παρέργῳ συμφορᾶς τοῦ δ' ὁ βίος,
as in by-work of-misfortune of-this and the life
εἴγε προσήκει συμφορᾷ παρεικάσαι
if-indeed it-befits to-a-misfortune to-liken
τὴν εὐσεβοῦντι δεσπότῃ πορθουμένην,
the by-a-pious master sacked
ἢ δυσσεβοῦντι Χοσρόῃ σεσωσμένην,
or by-an-impious Chosroes saved
ἤδη πρόσειμι τῇ Δαραρτάσει πόλει.
now I-approach the Darartasis city
ταύτην δέ φασι Περσικῶν ὁρισμάτων
this and they-say of-Persian boundaries
εἶναι βορείαν, τὴν δὲ πρὸς Νότον θέσιν,
to-be northern the and toward the-South position
ὅσον πρὸς ἡμᾶς, ἀντικειμένως ἔχειν.
as-much-as toward us oppositely to-have

καὶ τὸν κατ᾽ αὐτῆς ἐν βραχεῖ παραδρόμῳ
and the against it in brief running-past
καμπτῆρα τῷ τρέχοντι μορφώσω λόγῳ.
turning-post for-the running I-shall-shape word
Τὸν Ἀρτασὴρ γάρ, δοῦλον ὄντα τὴν τύχην,
— Ardashir for a-slave being in-the fortune
τυραννικῷ λέγουσι καὶ θρασεῖ ξίφει
with-tyrannical they-say and bold sword
Πάρθους ἀποστήσαντα τοῦ τότε κράτους
the-Parthians having-made-revolt from-the then might
εἰς αἰχμάλωτον ὅνπερ ἥρπασε θρόνον,
to captive which he-snatched throne
ἀντενθρονίζειν ἐν κακοῖς τὴν Περσίδα.
to-enthrone-in-turn in evils — Persia
χρόνους δὲ συλλέγουσιν, ὥς φασί, δέκα
times and they-gather as they-say ten
σὺν ἓξ διαδραμόντας ἑξηκοντάσιν,
with six having-run-through with-sixties
ἐν οἷς τὸ πικρὸν τοῦδε τοῦ σπόρου γένος
in which the bitter of-this the seed race
ἐξ αἱμάτων ὤδινεν αἱμάτων γόνον.
from bloods brought-forth of-bloods offspring
ἐν γὰρ τοσαύτῃ τοῦ χρόνου παρεκτάσει
in for so-great of-the time extension
ἐναλλαγὴν οὐκ ἔσχε τῆς μιαιφόνου
change not had of-the murderous
σειρᾶς ἐκείνης ἡ δυσέκλυτος δέσις,
chain that the hard-to-loose binding
ἀλλ᾽ ἐκ τέκνων εἰς τέκνα συμμετεπλάκη
but from children to children was-entwined

ὁ δεσμὸς οὗτος ἐμφραγαῖς πεφυρμένος,
the bond this with-blockages mixed
καὶ πᾶς παρ᾽ αὐτοῖς δυσμενὴς βροτοκτόνος
and every among them hostile man-slayer
ἔσπειρε τέκνον εἰς γονὴν πατροκτόνον,
sowed a-child into offspring father-slaying
κἀκεῖνος αὖθις ὡς ἐχίδνης οὐσίαν
and-that-one again as of-a-viper substance
τὸν κλῆρον ἀντέπεμψεν εἰς τοὺς ἐγγόνους.
the inheritance sent-on to the grandchildren
καὶ ῥοῦς ἐχεῖτο τοὺς φόνους ἐπιρρέων,
and a-current poured the slaughters flowing-on
ἕως πλατυνθεὶς εἰς ἀμέτρητον χύσιν
until broadened into measureless pouring
ἕστηκεν ἐνθεὶς εἰς βυθὸν τὸν Χοσρόην·
it-has-stood having-put into the-deep — Chosroes
ἔδει γάρ, οἶμαι, τῆς Ἰοκάστης τὸν βίον
it-was-needful for I-think — of-Jocasta the life
ζηλοῦντας αὐτοὺς τῷ παραλλήλῳ φθόνῳ
emulating them with-the parallel envy
πρὸς τὰς ὁμοίας συμφορὰς ἀνατρέχειν.
to the like misfortunes to-run-back
ἐκεῖνος οὖν ἔκτιζε τήνδε τὴν πόλιν
that-one then founded this the city
εἰς πύργον ἄκρον, εἰς ἀπόρθητον τόπον,
into a-tower highest into an-unsackable place
εἰς τεῖχος, ὡς ἔδειξε, τῆς ἁμαρτίας.
into a-wall as he-showed of-the sin
ἐκεῖ γὰρ εἶχε Χοσρόης καὶ τοὺς Μάγους
there for had Chosroes both the Magi

καὶ τοὺς ἑαυτοῦ προστάτας τοὺς ἄνθρακας,
and the his-own protectors the coals
δεινῇ κρατηθεὶς εἰκότως ὑποψία,
by-terrible held fittingly suspicion
μὴ τοὺς σεβαστοὺς αἰχμαλώτους ἁρπάσῃς.
lest the revered captives you-should-snatch
ἀλλ᾽ αὐτὸς ἐλθὼν ὥσπερ ἀστραπῆς τάχος,
but you-yourself having-come like of-lightning speed
καὶ τὸν ἐπ᾽ αὐτοῖς σχηματουργήσας φόβον
and the over them having-fashioned fear
(φόνον γὰρ αὐτὸς οὐδὲ βαρβάρων θέλεις,
slaughter for you-yourself not-even of-barbarians wish
εἰ μὴ καθ᾽ αὐτῶν ἀσπάσοιντο τὰ ξίφη),
if not against themselves they-should-embrace the swords
στήσας τε πολλὰς μηχανὰς τῶν ὀργάνων,
having-set-up and many engines of-the instruments
κριούς, χελώνας, πετροπομποὺς σφενδόνας,
rams tortoises stone-throwing slings
φράξας τε τὴν φάλαγγα καὶ τείχει νέῳ
having-fenced both the phalanx and with-a-wall new
τὸ τεῖχος αὐτῶν ἐμπερικλείσας ὅλον,
the wall their having-enclosed whole
ἅπαντας ἔνδον εἶλες ἐκ μόνου φόβου.
all within you-took from only fear
Πρῶτον μὲν οὖν, κράτιστε, τῶν σκύλων ὅλων
first indeed then most-mighty of-the spoils whole
ἀπηνθράκωσας τοὺς θεοὺς τῆς Περσίδος,
you-reduced-to-coals the gods — of-Persia
δεκτὰς ἀπαρχὰς τῷ θεῷ σου προσφέρων
acceptable first-fruits — to-God your offering

τὰ τῶν προπάππων Χοσρόου κειμήλια.
the of-the great-grandfathers of-Chosroes treasures
σβεννὺς γὰρ αὐτοὺς ἔφλεγες τὸν Χοσρόην,
quenching for them you-burned — Chosroes
οὐχ ὥσπερ ἐχθρὸς τοῦ πυρὸς τῆς οὐσίας
not as enemy of-the fire of-the substance
(ὅλος γὰρ εἶ πῦρ τῷ θεῷ συνημμένος)
whole for you-are fire — to-God joined
220 ἀλλ' ὡς ἐλευθέραν τε καὶ σεσωσμένην
but as free both and saved
θέλων προσάξαι τῷ θεῷ καὶ τὴν κτίσιν.
wishing to-bring — to-God also the creation
ἀπηλλάγη γὰρ καὶ τὸ πῦρ μολυσμάτων
was-freed for also the fire from-pollutions

τῇ προσκυνήσει μᾶλλον ἐξυβρισμένον,
by-the worship rather outraged
ἔχει δὲ τιμὴν τὴν καλὴν ἀτιμίαν,
it-has and as-honor the fair dishonor
τῇ σῇ καθαρθὲν εὐσεβεῖ καθαιρέσει,
by-the your purified pious pulling-down
καὶ συμφερόντως δυστυχεῖν ἠνέσχετο,
and profitably to-be-unfortunate endured
καλῶς τετρωθὲν ἢ κακῶς ἀνημμένον.
well wounded than evilly kindled
Οὕτως ἐκεῖνο πᾶν τὸ πῦρ κατασβέσας,
thus that all the fire having-quenched
ἀφῆκας οὐδέν, πλὴν ὅσον λαλεῖν ἔδει,
you-left nothing except as-much-as to-speak it-was-needful
σπινθῆρα μικρὸν εἰς τὸ φλέξαι Χοσρόην.
a-spark small for the to-burn Chosroes

NIKEPHOROS THE PATRIARCH

ΙΣΤΟΡΙΑ ΣΥΝΤΟΜΟΣ

The Short History

Under Phocas the Persians ravaged the empire from without and the emperor from within. Heraclius and Gregory, commanding in Libya, sent their sons against him; young Heraclius came first by sea, Phocas was seized and executed, and Heraclius was crowned. Crispus, who had betrayed Phocas, mocked the new emperor and was shorn and shut in a monastery. The empress Eudocia died; a widow won justice for her murdered son. The Persian Saitos took Egypt and besieged Chalcedon, and the envoys he took to Chosroes were imprisoned and he himself flayed. Famine and plague struck, Heraclius was kept from fleeing to Libya, and the Avar chagan ambushed him and carried off 270,000 captives.

Μετὰ τὴν Μαυρικίου τοῦ βασιλέως ἀναίρεσιν Φωκᾶς, ἐπεὶ
after the of-Maurice the emperor slaying Phocas when
ταύτην διειργάσατο, τῆς βασιλείου ἀρχῆς ἐπιλαμβάνεται·
this he-had-accomplished of-the imperial rule takes-hold
οὗ δὴ ἄρξαντος ἐπὶ τοσοῦτο κακώσεως Χριστιανοῖς
of-whom indeed having-ruled to so-great of-ill-treatment for-Christians
ἤλασε τὰ πράγματα ὡς παρὰ πολλοῖς ᾄδεσθαι ὅτι
drove the affairs that among many to-be-sung that
Πέρσαι μὲν τὴν Ῥωμαίων ἀρχὴν ἐκτὸς κατεπήμαινον,
the-Persians indeed the of-the-Romans rule outside harmed
Φωκᾶς δὲ ἔνδον χείρω τούτων ἔπραττε. ταῦτα οὐκ
Phocas but inside worse than-these did these-things not
ἀνεκτὰ Ῥωμαίοις ἐγίνετο· διὸ οἱ περὶ τὴν Λιβύην
bearable for-the-Romans became wherefore those about — Libya
τηνικαῦτα ἡγεμονεύοντες, ἅτε τῷ μεγίστῳ διαστήματι
at-that-time commanding inasmuch-as by-the very-great distance
τὸ θαρσεῖν ἔχοντες καὶ ἅμα παρὰ Μαυρικίου τὰ τῆς
the to-be-bold having and at-once from Maurice the-things of-the
στρατηγίδος ἀρχῆς ἐγκεχειρισμένοι (δύο δὲ ἦστην ἀδελφώ,
general's office having-been-entrusted two and were brothers

Ἡράκλειος καὶ Γρηγόριος), οὗτοι κοινῇ βουλευσάμενοι
Heraclius and Gregory these in-common having-taken-counsel
τοὺς υἱεῖς πρὸς τὸ Βυζάντιον, ἐκπέμπουσιν ἄστυ, ἀλλήλοις
the sons to the Byzantine send-out city with-one-another
συνθέμενοι ὡς τὸν προφθάσαντα τούτων τῆς βασιλείας, εἰ
having-agreed that the-one having-arrived-first of-them the kingship if
δύναιτο, ἐπιλήψεσθαι. καὶ Ἡράκλειον μὲν τὸν Ἡρακλείου
he-should-be-able would-take-hold and Heraclius indeed the of-Heraclius
παῖδα πλεῖστον καθοπλίσαντες στόλον ἐκ τῶν Ἄφρων
son a-very-great having-armed fleet from the Africans
καὶ Μαυρουσίων ἀνδρῶν πληρώσαντες πλοῖ ἐξέπεμπον,
and Moors men having-manned by-sea sent-out
Νικήταν δὲ τὸν Γρηγορίου υἱὸν ἱππικῇ στρατιᾷ πολλῇ
Nicetas and the of-Gregory son with-a-cavalry army great
περιβαλόντες διὰ τῆς ἠπείρου ἀπέστελλον. δεξιᾷ δὲ
having-surrounded through the mainland they-dispatched with-right and
τύχῃ χρησάμενος Ἡράκλειος καὶ πνεύμασιν ἐπιφορωτάτοις
fortune having-used Heraclius and by-winds most-favorable
ἀναχθεὶς φθάνει Νικήταν εὐπλοΐσας εἰς Βυζάντιον, καὶ
having-put-to-sea forestalls Nicetas having-sailed-well to Byzantium and
ἤδη τῇ πόλει προσεσχηκὼς ἐπέλαζε. Κρίσπος δέ (τοῦ
already to-the city having-put-in drew-near Crispus but —
Φωκᾶ δὲ ἦν οὗτος γαμβρός, ὃς τηνικάδε τὸν τοῦ ὑπάρχου
of-Phocas and was this-one son-in-law who at-that-time the of-the prefect
τῆς πόλεως θρόνον διέπειν ἔλαχε, καὶ μεγάλα ἐν τοῖς
of-the city seat to-administer obtained and greatly in the
βασιλείοις δυνάμενος), ἐπεὶ ἀπηχθάνετο Φωκᾷ ὡς δὴ
palace being-powerful when he-was-hated-by Phocas as indeed
περιυβρισμένος ὑπ᾽ ἐκείνου τυγχάνων τῆς οἰκείας εἰκόνος
outraged by him happening of-the own image
καθαιρέσεως ἕνεκεν, ἥν ποτε οἱ τῶν ἀντιθέτων χρωμάτων
the-pulling-down because-of which once the of-the opposing colors

δημόται τῇ τοῦ Φωκᾶ συμπαρέγραψαν εἰκόνι, δόλῳ αὐτὸν
faction-men to-the — of-Phocas painted-beside image with-guile him
μετήρχετο, καὶ πονεῖν μὲν ὑπὲρ αὐτοῦ πλαττόμενος ἔπειθε
he-pursued and to-toil indeed for him pretending he-persuaded
καὶ Ἡράκλειον ἐπ᾽ ἀπωλείᾳ ἑαυτοῦ ἥκειν ἀπισχυρίζετο,
and Heraclius for destruction of-himself to-come he-maintained
συνήργει δὲ ὅμως Ἡρακλείῳ καὶ τῷ ὄντι τὰ ὑπὲρ
he-worked-with but yet with-Heraclius and in-the reality the-things for
αὐτοῦ εἰς τὰ μάλιστα ἔπραττεν. οἱ οὖν περὶ Φωκᾶν
him to the utmost did those then about Phocas
θεασάμενοι καὶ ὅσον πολιτικὸν ἐξ αὐτῶν ἐστασίαζον
having-beheld both how-much civic from them was-in-revolt
(ἤδη γὰρ οἱ τοῦ πρασίου χρώματος δημόται τοῖς περὶ
already for the of-the green color faction-men to-the about
τὴν Καισαρίου τὸ πῦρ ὑφῆπτον καὶ τὸν ἔπηλυν βασιλέα
the of-Caesarius the fire set and the newly-come emperor
ἀνευφήμουν), ἐπικειμένους δὲ αὐτοῖς καρτερώτατα καὶ τοὺς
acclaimed pressing-on and them most-mightily also those
ἐκ τῶν Ἡρακλείου στρατευμάτων εἰσιδόντες, καταλιπόντες
from the of-Heraclius armies having-seen having-abandoned
αὐτὸν ἐφ᾽ ἑαυτοῖς γίνονται. Φώτιος δέ τις τοὔνομα, ὃς παρ᾽
him by themselves become Photius and a by-name who by
αὐτοῦ εἰς τὴν σύζυγον ἐπιβουλευθείς ποτε καθυβρίζετο, εἰς
him against the wife having-been-plotted once was-outraged into
τὰ βασίλεια σὺν πλήθει στρατιωτῶν ἐπιὼν Φωκᾶν αὐτίκα
the palace with a-multitude of-soldiers advancing Phocas at-once
κατέσχε, καὶ τῆς βασιλικῆς αὐτὸν ἀπαμφιέσας ἐσθῆτος,
seized and of-the imperial him having-stripped garment
περίζωμα μέλαν αὐτῷ περιθέμενος, τὰς χεῖρας περιηγμένας
a-loincloth black on-him having-put the hands brought-round
εἰς τοὐπίσω ἀποδεσμήσας καὶ πλοίῳ ἐμβαλὼν πρὸς
to the-back having-bound and in-a-boat having-put to

Ἡράκλειον δεσμώτην ἀπήγαγεν. ὃν ἰδὼν Ἡράκλειος
Heraclius a-prisoner led-away whom having-seen Heraclius
ἔφη "οὕτως, ἄθλιε, τὴν πολιτείαν διῴκησας;" ὁ δὲ "σὺ
said thus wretch the state did-you-administer he but you
μᾶλλον" εἶπε "κάλλιον διοικεῖν μέλλεις". εὐθὺς οὖν αὐτοῦ
rather said better to-administer are-about at-once then his
τὸν διὰ ξίφους ἔτι πρὸς τῷ πλοίῳ ὄντος καταψηφίζεται
the by sword still at the boat being condemns
θάνατον, ἔπειτα ἀκρωτηριάζεσθαι, χεροῖν τε δεξιὰν
death then to-be-mutilated of-the-two-hands and the-right
ἄνωθεν ἐκ τοῦ ὠμιαίου ἄρθρου ἐκκόπτεσθαι καὶ τῶν
from-above from the shoulder joint to-be-cut-off and of-the
αἰδοίων ἐκτέμνεσθαι καὶ κοντοῖς ἀναρτᾶσθαι, οὕτω τε τὸ
genitals to-be-cut-off and on-poles to-be-hung thus and the
σῶμα συρὲν κατὰ τὴν τοῦ Βοὸς λεγομένην ἀγορὰν
body having-been-dragged through the of-the Ox called market
τῷ πυρὶ καταπίμπρασθαι, Δομεντιόλον τε τὸν Φωκᾶ
by-the fire to-be-burned Domentiolus both the of-Phocas
ἀδελφὸν καὶ Βονόσσον καὶ Λεόντιον τὸν τῶν βασιλικῶν
brother and Bonosus and Leontius the of-the imperial
χρημάτων ταμίαν τὸν αὐτὸν τῷ Φωκᾷ συνδιαφέρειν
moneys treasurer the same — with-Phocas to-bear
κίνδυνον προσέταττε. καὶ δὴ ταῦτα οὕτως ἀπέβαινε.
danger he-ordered and indeed these-things thus came-about
Σέργιος δὲ αὐτίκα ὁ τῆς πόλεως πρόεδρος καὶ ὁ
Sergius and at-once the of-the city president and the
λοιπὸς ταύτης ὅμιλος σὺν πάσῃ εὐγνωμοσύνῃ Ἡράκλειον
remaining of-it throng with all good-will Heraclius
ἐντὸς εἰσδέχεται. καὶ αὐτὸς Κρίσπον εἰς τὴν βασίλειον
within receives and he-himself Crispus to the imperial
ἀξίαν προύτρεπε· μηδὲ γὰρ τῆς βασιλείας ἕνεκεν αὐτὸς
dignity urged not-even for of-the kingship for-the-sake he-himself

ἐληλυθέναι ἔφασκε, τίσασθαι μᾶλλον Φωκᾶν τῆς εἰς
to-have-come he-said to-punish rather Phocas for-the against
Μαυρίκιον καὶ τὰ Μαυρικίου τέκνα παρανομίας. ὁ δὲ οὐκ
Maurice and the of-Maurice children lawlessness he but not
ἐδέχετο. τέλος ὑπὸ τῆς συγκλήτου βουλῆς καὶ τοῦ δήμου
accepted at-last by the senatorial council and the people
Ἡράκλειος βασιλεὺς ἀνακηρύσσεται καὶ τὸν βασίλειον
Heraclius emperor is-proclaimed and the imperial
παρὰ τοῦ προέδρου περιβάλλεται στέφανον· Κρίσπον δὲ
from the president puts-on crown Crispus and
στρατηγὸν ἀποστέλλει χειροτονήσας τῶν ἐν Καππαδοκίᾳ
general he-sends-off having-appointed of-the in Cappadocia
ἐκστρατευμάτων. ἐπεὶ δὲ ἡ φήμη διέθεεν ὡς Πέρσαι ἐπὶ
armies when and the report ran that the-Persians against
Ῥωμαίους στρατεύουσιν, Ἡράκλειος ἐκ Βυζαντίου ἄρας
the-Romans campaign Heraclius from Byzantium having-set-out
παρὰ Κρίσπον κατὰ τὴν Καίσαρος πόλιν τηνικαῦτα
to Crispus at the of-Caesar city at-that-time
τυγχάνοντα προσπορεύεται ὡς δὴ αὐτῷ τῶν κοινῶν
happening-to-be proceeds as indeed with-him of-the common-affairs
ἕνεκεν βουλευσόμενος. καὶ ὃς μὲν νοσεῖν προσεποιεῖτο καὶ
for-the-sake going-to-take-counsel and he indeed to-be-sick pretended and
τὸν βασιλέα συχνῶς παραγινόμενον ἐν σχήματι ἀρρώστου
the emperor frequently arriving in the-guise of-an-invalid
κατακλινόμενος ἀηδῶς καὶ μόλις ἐδέχετο· εἶτα ἠκούετο
lying-down unpleasantly and hardly received then it-was-heard
ὡς καὶ διελοιδορεῖτο αὐτῷ· Ἡράκλειος δὲ τὸ δρᾶμα συνῆκε
that also he-railed at-him Heraclius but the play understood
καὶ τὴν ὕβριν ὅμως ἤνεγκε καὶ ἤδη ἐκαιροφυλάκει. ἀλλ᾽
and the insult yet bore and already watched-his-time but
ἔδοξε τέως γνησιώτερόν πως διαλέγεσθαι περὶ τοῦ
it-seemed-good meanwhile more-sincerely somehow to-converse about the

δεῖν πονεῖν ὑπὲρ ἀλλήλων τῆς πολιτείας χάριν. ὁ δὲ
to-be-needful to-toil for one-another of-the state for-the-sake he but
οἷα ἐπιτωθάζων οὐκ ἐξὸν βασιλεῖ ἔφασκε καταλιμπάνειν
as-if mocking not permitted for-an-emperor he-said to-leave
βασίλεια καὶ ταῖς πόρρω ἐπιχωριάζειν δυνάμεσιν. ἐν
the-palace and among-the distant to-stay forces among
τούτοις τίκτεται παῖς τῷ βασιλεῖ Ἡράκλειος, ὃν δὴ
these is-born a-son to-the emperor Heraclius whom indeed
καὶ Κωνσταντῖνον ὠνόμασεν. τότε δὴ παραγίνεται καὶ
also Constantine he-named then indeed arrives also
Νικήτας ὁ τὴν ἀξίαν πατρίκιος πρὸς τὸ βασίλειον ἄστυ.
Nicetas the — in-rank patrician to the imperial city
διὰ τοῦτο Ἡράκλειος εἰς τὸ Βυζάντιον ἐπάνεισι καὶ
because-of this Heraclius to — Byzantium goes-back and
Νικήταν σὺν τιμῇ μεγίστῃ καὶ περιφανείᾳ ὥσπερ ἀδελφὸν
Nicetas with honor greatest and splendor as a-brother
γνήσιον καὶ ὁμότιμον δέχεται, καθὰ ἦν αὐτοῖς ἤδη
genuine and of-equal-honor receives as had-been to-them already
συντεταγμένον ἐκ Λιβύης ἀπαίρουσι. καὶ Κρίσπος δὲ εἰς
arranged from Libya setting-out and Crispus too to
Βυζάντιον ἦκεν ὡς τῇ εἰσόδῳ Νικήτα συνησθησόμενος.
Byzantium came as at-the entry of-Nicetas going-to-rejoice-with
σκήπτεται δὲ Ἡράκλειος τῷ θείῳ λουτρῷ τὸν υἱὸν
pretends and Heraclius with-the divine bath the son
καθαγνίζειν, υἱοθετεῖσθαι δὲ αὐτὸν ὑπὸ Κρίσπου. ὁ δὲ
to-purify to-be-adopted and him by Crispus he and
ἐπὶ τούτοις εἰσέρχεται εἰς τὰ βασίλεια. Ἡράκλειον δὴ
on these-things enters into the palace Heraclius indeed
ἀθροίσαντα τοὺς ἐκ τῆς συγκλήτου βουλῆς ἅπαντας καὶ
having-gathered the from the senatorial council all and
τὴν ἄλλην πληθὺν τοῦ ἄστεως ἅμα τῷ προέδρῳ Σεργίῳ
the other multitude of-the city together with-the president Sergius

εἰπεῖν λέγεται πρὸς αὐτούς "ὁ βασιλέα ὑβρίζων τίνι
to-have-said is-said to them the-one an-emperor insulting whom
προσκρούει;" τοὺς δὲ φάναι "τῷ θεῷ τῷ ποιήσαντι
offends them and to-have-said — to-God the-one having-made
αὐτὸν βασιλέα". καὶ Κρίσπον προτρέπειν, καὶ αὐτὸν
him emperor and Crispus to-have-urged also him
ἀποφαίνεσθαι τὸ δοκοῦν ὀρθῶς· τὸν δὲ οὐκ εἰδότα τὸ
to-declare the seeming-good rightly him and not knowing the
δραματούργημα λέξαι μηδὲ φιλανθρώπου τυχεῖν δίκης
plot to-have-said not-even a-humane to-obtain sentence
τὸν ἐπὶ τοιούτῳ ἁλόντα τολμήματι. καὶ τὸν βασιλέα
the-one in such caught a-daring and the emperor
ἀναμιμνήσκειν αὐτὸν οἷα ἐν Καισαρείᾳ ἐπὶ τῇ νόσῳ
to-remind him what-sort in Caesarea at the illness
κατεσχηματίσατο, καὶ ὡς τὸ τῆς βασιλείας κατευτελίζειν
he-had-feigned and how the of-the kingship to-disparage
ἀξίωμα ᾤετο, καὶ ὡς εἰς τὴν βασίλειον ἀρχὴν προύτρεπε.
dignity he-thought and how to the imperial rule he-had-urged
καὶ ἅμα λαβόντα τόμον κατὰ κόρρης τοῦτον παίειν, καὶ
and at-once having-taken a-volume on the-temple him to-strike and
εἶτα λέγοντα "ὡς γαμβρὸν οὐκ ἐποίησας, φίλον πῶς ἂν
then saying as son-in-law not you-made a-friend how —
ποιήσειας;" εὐθὺς δὲ ἐπιτρέψαι εἰς κληρικοῦ σχῆμα τὴν
would-you-make at-once and to-have-ordered into of-a-cleric the-guise the
κεφαλὴν ἀποκείρασθαι, καὶ τὸν ἱεράρχην τὰ νενομισμένα
head to-be-shorn and the hierarch the customary-things
ἐπὶ τῇ ἀποκάρσει ἐπιφθέγξασθαι. ἐξελθόντα δὲ αὐτὸν
at the tonsure to-pronounce having-gone-out and him
τοῖς μετὰ Κρίσπου στρατιώταις ἐπὶ λέξεως ὧδε εἰπεῖν
to-the with Crispus soldiers upon the-wording thus to-have-said
"ὁ παπᾶς Κρίσπος ὑπουργοὺς ὑμᾶς ἕως τοῦ νῦν εἶχεν,
the priest Crispus as-servants you until the now had

ἡμεῖς δὲ σήμερον οἰκειακοὺς τῆς βασιλείας ὑπηρέτας".
we but today as-household of-the kingship servants
προσθεῖναι δὲ αὐτοῖς τὸ ἐξ ἔθους σιτηρέσιον, πρώτους
to-have-added and to-them the from custom grain-allowance first
τε καλεῖσθαι καὶ ἐν τοῖς στρατιωτικοῖς τάγμασιν· αὐτούς
and to-be-called also in the military ranks them
τε ἀσμενέστατα δεξαμένους τὸν βασιλέα ἐπευφημῆσαι
and most-gladly having-accepted the emperor to-have-acclaimed
ἅμα τῇ ἄλλῃ πληθύϊ. μετὰ δὴ ταῦτα Κρίσπον
together-with the other multitude after indeed these-things Crispus
εἰς τὸ λεγόμενον τῆς Χώρας περιεῖρχθαι σεμνεῖον,
in the called — of-Chora to-have-been-shut-up monastery
ὃς ζήσας ἐνιαυτὸν αὐτοῦ ἐτελεύτησεν. Ἡράκλειος δὲ
who having-lived a-year there died Heraclius and
Θεόδωρον τὸν ἑαυτοῦ ἀδελφόν, τὴν μετὰ βασιλέα πρώτην
Theodore the his-own brother the after emperor first
ἀρχὴν κεκτημένον (κουροπαλάτην δὲ αὐτὸν οἱ περὶ
office having-acquired curopalates and him those about
τὰ βασίλεια καλεῖν εἰώθασιν), ἔτι καὶ Φιλιππικὸν τὸν
the palace to-call are-accustomed further also Philippicus the
Μαυρικίου τοῦ βασιλέως γαμβρὸν ἐπ' ἀδελφῇ γεγονότα,
of-Maurice the emperor brother-in-law by sister having-become
τηνικαῦτα δὲ εἰς κληρικοῦ σχῆμα ἀποκεκαρμένον τὴν
at-that-time but into of-a-cleric the-guise shorn the
κόμην, ἡγεμόνα τῆς ὑπὸ Κρίσπου πρώην ἰθυνομένης
hair as-leader of-the by Crispus formerly directed
ἀρχῆς ἐξέπεμπε. Φιλιππικὸς δὲ ἐπιβιοὺς χρόνον ὕστερον
command sent-out Philippicus and having-lived-on a-time later
ἐτελεύτα, καὶ πρὸς τῷ ὑπ' αὐτοῦ δωμηθέντι περικαλλεῖ
died and at the by him built very-beautiful

ἄγαν καὶ σεβασμίῳ ἱερῷ τῷ κατὰ Χρυσόπολιν ὄντι
exceedingly and venerable sbrine the at Chrysopolis being
ταφῇ παραδίδοται.
to-burial is-delivered
Ὀλίγου δὲ χρόνου διιππεύσαντος νόσῳ ἐπιληψίας ἡ
little and time having-sped-past by-disease of-epilepsy the
τοῦ βασιλέως γαμετὴ Εὐδοκία ληφθεῖσα ἐτελεύτησεν.
of-the emperor wife Eudocia having-been-seized died
ἐν ᾧ δὲ τὸ ταύτης σῶμα ἐξεκομίζετο, καὶ πολλῶν
in which and the her body was-being-carried-out and many
ὡς τὸ εἰκὸς ἐπὶ τῇ θέᾳ συρρεόντων, συνέπεσε κόρην
as the likely at the sight flowing-together it-happened a-girl
τινὰ ὕπερθεν τῶν ὑπερῴων διακύψασαν (θεράπαινα δὲ
a from-above the upper-rooms having-peeped a-maidservant and
ἦν αὕτη τῶν ἀστῶν τινος) ἀποπτύσαι ὡς τὸν ἀέρα
was she of-the citizens of-a-certain-one to-spit as into-the air
ἀφύλακτα καὶ τὸ περίττωμα κατὰ τῆς πολυτελοῦς ἐκείνης
unguardedly and the spittle onto the costly that
ἐσθῆτος περιενεχθῆναι ἢ τὸ τῆς βασιλίδος νεκρὸν
garment to-be-carried-around which the of-the empress corpse
περιέστελλεν· ἐφ᾽ ᾧ οἱ περὶ τὴν ἐκφορὰν περιοργεῖς
wrapped at which those about the procession very-angry
γενόμενοι συλλαμβάνουσί τε αὐτὴν καὶ τὸν διὰ πυρὸς
having-become seize both her and the by fire
κατεδίκασαν θάνατον, ἐντάφιον οὐκ εὐαγές, βαρβαρικῷ
condemned-to death a-funeral-rite not holy with-a-barbarian
νόμῳ χρησάμενοι, τῇ ἐκδημίᾳ τῆς βασιλίσσης ἀθέσμως
law having-used with-the departure of-the empress lawlessly
συμπαραπέμψαντες οἱ ἀνόσιοι. περιεζήτουν δὲ οἵγε
having-sent-(her)-along the unholy-ones sought and they-indeed
καὶ τὴν δέσποιναν τῆς οἰκέτιδος, ὡς καὶ αὐτῇ τὸν ἴσον
also the mistress of-the servant-girl that also to-her the equal

διάθοιντο κίνδυνον· ἡ δὲ δήπου αἰσθομένη τὸν ὄλεθρον
they-might-dispose danger she but doubtless having-perceived the ruin
διαπέφευγεν, οὔτι ὁραθεῖσα εἰς τὸ ἔπειτα πώποτε. καὶ
escaped in-no-way having-been-seen into the afterward ever and
ταῦτα μὲν ἀμφὶ τὰ βασίλεια ὧδέ πως ἔσχε.
these-things indeed about the palace thus somehow went
Τὰ δ' αὖ ἑτέρωσε ὡς ἐτελεῖτο οὕτω
the-things and in-turn elsewhere as were-being-accomplished thus
συνέβαινεν. ἔν τινι τῶν ἐπιχωρίων (χώρα δὲ ἥτις
happened in one of-the local-places a-place and whichever
ποτέ ἐστιν, οὐδαμῇ ἐς τὸ νῦν παραδέδοται) ἦν τις
ever it-is nowhere to the now has-been-handed-down there-was a-man
ἐν ἐκείνῃ περιφανείᾳ κομώντων εὐπορίᾳ τε βίου
in that with-renown of-those-flourishing with-abundance and of-livelihood
λαμπρός, οὗ τὸ ἐπώνυμον Βουτηλῖνος ἐτύγχανεν, τὴν
brilliant whose the name Boutelinus happened-to-be —
δὲ ἀξίαν ἣν κανδιδάτον Ῥωμαίοις κικλήσκειν ἔθος.
and in-rank which candidatus among-the-Romans to-call (is)-custom
τούτῳ γυνή τις χήρα ἐν γειτόνων διῳκημένη χαλεπῶς
to-this-one a-woman a widow in neighborhood living hardly
ἔφερε τὸ γειτόνημα· ἀμφισβητήσεως γὰρ αὐτοῖς μεθορίων
bore the neighborship of-dispute for between-them of-boundaries
γῆς ἕνεκεν συμβαινούσης ὁ Βουτηλῖνος τοῖς παισὶ τοῖς
of-land because-of happening — Boutelinus to-the sons the
αὐτοῦ ἐνεκέλευε μάχῃ ἐπιέναι τοῖς ὁμοροῦσι, καὶ οἵγε
his ordered with-battle to-attack the neighbors and they
ῥοπάλοις ἕνα τῶν τῆς χήρας υἱέων ἀναιροῦσιν. αὕτη
intact recognized and that untouched and unseen by-profane
καὶ μιαιφόνοις χερσὶ τῶν βαρβάρων διετηρήθησαν,
and murderous hands of-the barbarians they-had-been-kept
εὐχαριστήριον ᾠδὴν τῷ θεῷ ἀνέθεσαν. τήν τε κλεῖδα τὴν
a-thanksgiving song — to-God offered the and key the
ἐπ᾽ αὐτοῖς ὁ ἱεράρχης μείνασαν παρ᾽ αὐτῷ ἤγαγε, καὶ
on them the hierarch having-remained with him brought and

ἀνοιγέντα προσκυνοῦσιν ἅπαντες. ὑψωθέντων δὲ αὐτῶν
opened worship all having-been-raised and them
ἐκεῖσε εὐθὺς ἐς τὸ Βυζάντιον ὁ βασιλεὺς ἐξέπεμψεν. ἃ δὴ
there at-once to — Byzantium the emperor sent-out which indeed
Σέργιος ὁ τοῦ Βυζαντίου ἱεράρχης ἐκ Βλαχερνῶν (ἱερὸν
Sergius the — of-Byzantium hierarch from Blachernae a-shrine
δὲ αἱ Βλαχέρναι τῆς θεομήτορος) λιτανεύων ὑπεδέξατο καὶ
and — Blachernae of-the mother-of-God in-procession received and
πρὸς τὴν μεγίστην ἐκκλησίαν ἀγαγὼν ταῦτα ἀνύψωσε.
to the greatest church having-brought them raised-up
δευτέρα δὲ ἦν ἰνδικτιὼν ἡνίκα ταῦτα ἐπράττοντο.
second and was indiction when these-things were-done
Μετ᾽ οὐ πολὺ δὲ καὶ Ἡράκλειος πρὸς τὸ Βυζάντιον
after not long and also Heraclius to — Byzantium
ἐχώρει, ὑπὸ πολλῆς εὐφημίας καὶ δόξης ὑπερβαλλούσης
went with much acclamation and glory surpassing
παρὰ τῶν ἐκεῖσε δεχθείς. τέσσαρας δὲ ἤγεν ἐλέφαντας,
by those there received four and he-led elephants
οὓς δὴ καὶ εἰς τοὺς ἱππικοὺς ἀγῶνας ἐθριάμβευεν
which indeed also into the horse contests he-led-in-triumph
ἐπὶ τῇ τῆς πόλεως τέρψει, ἡμέρας τε ἐπινικίους ἐπ᾽
for the of-the city delight days and of-victory in
εὐφροσύνῃ πάσῃ δωρεαῖς φιλοτιμούμενος ἐπετέλει. ἐπειδὴ
joy all with-gifts making-largess completed since
δὲ ἦν ἑλὼν τῆς οὐσίας τῆς μεγάλης ἐκκλησίας,
and he-had taken of-the property of-the great church
ἐκέλευσεν ἐκ τοῦ βασιλικοῦ ταμιείου αὐτῇ τε καὶ τῷ
he-ordered from the imperial treasury to-it both and to-the
κατ᾽ αὐτὴν κλήρῳ ἐτήσια χρήματα παρέχεσθαι. καὶ μετὰ
at it clergy yearly moneys to-be-supplied and after

τοῦτο παρασκευάζει Κωνσταντῖνον τὸν υἱὸν ὑπατεῦσαι,
this he-prepares Constantine the son to-be-consul
Ἡράκλειον δὲ τὸν ἀπὸ Μαρτίνης Καίσαρα προχειρίζεται.
Heraclius and the from Martina Caesar appoints

THE SARACENS AND HERACLIUS' HEIRS

The Saracens overran the country around Antioch, killed Sergius sewn into a camel's hide, and ambushed Theodore's army. Maria ransomed her son from the Avars, and Kuvrat made peace. Cyrus offered the Arabs tribute and a marriage and was disgraced. Heraclius punished a plot, crossed to the city on a bridge of boats, and died of dropsy, leaving his sons equal emperors. The people rejected Martina; Constantine died, Valentinus rose against her, the crowd forced the crowning of Constantine's son, renamed Constantine, and Pyrrhus fled. Terms were made with Valentinus; the young Constantine was murdered in Sicily in the twenty-seventh year of his reign.

Οὐ πολὺς δὲ χρόνος ἐν μέσῳ, καὶ Σαρακηνοὶ τὰ
not much and time in between and the-Saracens the-places
περὶ τὴν Ἀντιόχειαν κατέτρεχον. εὐθὺς δὲ Ἡράκλειος σὺν
about — Antioch overran at-once and Heraclius with
Μαρτίνῃ τῇ γυναικὶ καὶ Ἡρακλείῳ τῷ παιδὶ πρὸς τοῖς τῆς
Martina the wife and Heraclius the son to the of-the
ἀνατολῆς χωρίοις ἐπεξῄει. αὐτόθι δὲ γενόμενος Θεοδώρῳ
east places went-out there and having-come with-Theodore
τῷ ἀδελφῷ ὀργίζεται· ὑπεψιθυρίζετο δέ τισι λοιδορεῖσθαι
the brother he-is-angry it-was-whispered and by-some to-revile
αὐτὸν τῷ βασιλεῖ Μαρτίνης ἕνεκεν, λέγοντα ὅτι "ἡ
him the emperor Martina because-of saying that the
ἁμαρτία αὐτοῦ ἐνώπιον αὐτοῦ διὰ παντός". καὶ αὐτὸν
sin his before him through all and him
εἰς Βυζάντιον ἀποστέλλει, γράψας τῷ υἱῷ Κωνσταντίνῳ
to Byzantium sends having-written to-the son Constantine

τοῦτον ἐπ᾽ ἀθροίσματος λαοῦ ἀτιμώσαντα ὡς ἐν φρουρᾷ
him before an-assembly of-people having-dishonored as in custody
κατέχειν. στρατηγόν τε ἀνατολῆς ἐκπέμπει Θεόδωρον,
to-hold a-general and of-the-east sends-out Theodore
τῶν βασιλικῶν χρημάτων ταμίαν, τὸ ἐπίκλην Τριθύριον.
of-the imperial moneys treasurer the surname Trithyrius
Σέργιος γὰρ ὁ κατὰ Νικήταν τελευτᾷ τρόπῳ τοιῷδε.
Sergius for the at Nicetas dies in-manner such
κάμηλον οἱ Σαρακηνοὶ ἀποδείραντες τοῦτον ἐγκατακλείουσι
a-camel the Saracens having-flayed him shut-up
τῇ δορᾷ καὶ ἐπέρραπτον. τῆς βύρσης οὖν κατεσκληκυίας
in-the hide and sewed-up of-the hide then having-dried-hard
συναπεξηραίνετο καὶ ὁ ἐντὸς καὶ ἀπομαρανθεὶς
was-dried-up-with-it also the-one inside and having-withered
πικρῶς διώλετο. αἰτίαν δὲ αὐτῷ ἐπῆγον ὡς αὐτὸς
bitterly perished a-charge and against-him they-brought that he-himself
παρεσκεύασεν Ἡράκλειον μὴ συγχωρεῖν Σαρακηνοῖς τὰς
prepared Heraclius not to-allow to-the-Saracens the
συνήθως παρεχομένας αὐτοῖς τριάκοντα χρυσίου λίτρας δι᾽
customarily supplied to-them thirty of-gold pounds through
ἐμπορικῆς ἀμοιβῆς ἐκ τῆς Ῥωμαϊκῆς πολιτείας ἐκπέμπειν·
trade exchange from the Roman state to-send-out
ἐντεῦθέν τε αὐτοὺς ἄρξαι τῇ Ῥωμαίων λυμαίνεσθαι
thence and them to-have-begun the of-the-Romans to-harm
χώρᾳ. ἐκ τούτου παρήγγειλε Θεοδώρῳ μὴ συμβάλλειν πρὸς
country from this he-ordered Theodore not to-join to
μάχην Σαρακηνοῖς. οἱ δὲ προλοχήσαντες καὶ ὀλίγοις τισὶν
battle with-the-Saracens they but having-laid-ambush and with-few some
ἀκροβολισάμενοι Ῥωμαίοις ὑπήγοντο. εἰσπίπτουσι δὲ αὐτοῖς
having-skirmished the-Romans drew-on fall-upon and them

οἱ ἐκ τῶν ἐνεδρῶν ἐξαπιναίως, καὶ μέσον ἀπολαβόντες
those from the ambushes suddenly and in-the-middle having-cut-off
πολλοὺς ἔκτειναν στρατιώτας τε καὶ ἄρχοντας.
many killed soldiers both and officers
Κατὰ δὲ τὸν καιρὸν ἐκεῖνον Μαρία ἡ ἀδελφὴ Ἡρακλείου
at and the time that Maria the sister of-Heraclius
χρήματα πρὸς τὸν χαγάνον Ἀβάρων ἔπεμψε καὶ τὸν
moneys to the chagan of-the-Avars sent and the
υἱὸν Στέφανον ἀπέλαβε. τοῖς δὲ τοιούτοις δώροις ἡσθεὶς
son Stephen got-back by-the and such gifts pleased
ὁ Ἄβαρος ἠρέθισεν Ἀνιανὸν τὸν μάγιστρον, ὡς καὶ
the Avar roused Anianus the magister that also
αὐτὸς πέμψας δῶρα ἀπολήψεται καὶ τοὺς ἄλλους οὕσπερ
himself having-sent gifts he-will-get-back also the others whom
κατεῖχεν ὁμήρους. καὶ δὴ καὶ ἐγένετο οὕτως.
he-held hostages and indeed also it-happened thus
Ὑπὸ δὲ τὸν αὐτὸν καιρὸν ἐπανέστη Κούβρατος ὁ
about and the same time rose-up Kuvrat the
ἀνεψιὸς Ὀργανᾶ ὁ τῶν Οὐνογουνδούρων κύριος τῷ
nephew of-Organas the of-the Onogundurs lord against-the
τῶν Ἀβάρων χαγάνῳ, καὶ ὃν εἶχε παρ᾽ αὐτοῦ λαὸν
of-the Avars chagan and which he-had from him people
περιυβρίσας ἐξεδίωξε τῆς οἰκείας γῆς. διαπρεσβεύεται δὲ
having-outraged drove-out of-the own land sends-envoys and
πρὸς Ἡράκλειον καὶ σπένδεται εἰρήνην μετ᾽ αὐτοῦ, ἥνπερ
to Heraclius and makes-a-treaty peace with him which
ἐφύλαξαν μέχρι τέλους τῆς ἑαυτῶν ζωῆς· δῶρά τε γὰρ
they-kept until end of-the their-own life gifts both for
αὐτῷ ἔπεμψε καὶ τῇ τοῦ πατρικίου ἀξίᾳ ἐτίμησεν.
to-him he-sent and with-the of-the patrician rank honored

Ἐν ᾧ δὲ ἐν τοῖς ἀνατολικοῖς μέρεσι διέτριβεν Ἡράκλειος,
in which and in the eastern parts was-spending-time Heraclius
Ἰωάννην τὸν Βαρκαίνης στρατηγὸν προχειρίζεται καὶ πέμπει
John the of-Barca general appoints and sends
κατὰ Σαρακηνῶν τῶν ἐν Αἰγύπτῳ· οἷς συμβαλὼν
against Saracens the in Egypt with-whom having-engaged
πίπτει καὶ αὐτός. ἔτι καὶ Μαρῖνος ὁ τῶν Θρᾳκικῶν
falls also himself further also Marinus the of-the Thracian
ἐκστρατευμάτων ἡγεμὼν συμμίξας αὐτοῖς ἡττήθη, πολὺν
armies leader having-engaged them was-defeated much
δὲ στρατὸν ἀποβαλὼν καὶ αὐτὸς μόλις διασώζεται. μετ᾽
and army having-lost also himself hardly gets-safe after
ἐκεῖνον προβάλλεται στρατηγὸν Μαριανὸν κουβικουλάριον
him puts-forward as-general Marianus cubicularius
παρὰ Ῥωμαίων τὴν ἀξίαν καὶ πέμπει ἐκεῖσε, παραγγείλας
among the-Romans — in-rank and sends there having-ordered
ὡς ἀνακοινοῦσθαι Κύρῳ τῷ Ἀλεξανδρείας ἱεράρχῃ, καὶ
that to-confer with-Cyrus the of-Alexandria hierarch and
ὡς ἂν κοινῇ τὰ πρὸς τοὺς Σαρακηνοὺς διάθοιντο.
that — in-common the-things toward the Saracens they-might-arrange
Κῦρος δὲ ἦν δεδηλωκὼς βασιλεῖ σπείσεσθαι ἐπὶ
Cyrus and had signified to-the-emperor going-to-make-a-treaty on
τελέσμασιν Ἄμβρῳ τῷ τῶν Σαρακηνῶν φυλάρχῳ, ἃ
payments with-Amr the of-the Saracens chief which
δὴ καὶ ὑπέχειν δι᾽ ἐμπολαίου συνεισφορᾶς ἐσήμαινε,
indeed also to-undertake by trade contribution he-indicated
τὰ δὲ τῷ βασιλεῖ παρεχόμενα ἀδιάπτωτα μένειν·
the-things and to-the emperor supplied unfailing to-remain
κατεγγυηθῆναι δὲ αὐτῷ Εὐδοκίαν τὴν Αὐγούσταν ἢ μίαν
to-be-betrothed and to-him Eudocia the Augusta or one
τῶν θυγατέρων τοῦ βασιλέως ὡς ἐντεῦθεν καὶ τῷ θείῳ
of-the daughters of-the emperor as thereafter also with-the divine

λουτρῷ βαπτισθησομένῳ καὶ Χριστιανῷ χρηματίσοντι.
bath going-to-be-baptized and Christian going-to-be-called
ἐπείθετο γὰρ Ἄμβρος τῷ Κύρῳ καὶ ὁ τούτου στρατός·
was-persuaded for Amr — by-Cyrus and the his army
καὶ γὰρ ἠγάπων αὐτὸν λίαν. καὶ τούτων Ἡράκλειος οὐδενὸς
also for they-loved him greatly and of-these Heraclius none
ἠνείχετο. ἐπειδὴ δὲ καὶ Μαριανὸς ταῦτα ἐξηπίστατο,
endured since and also Marianus these-things knew-well
διίστατο τῆς τοῦ Κύρου γνώμης, καὶ συμβαλὼν
he-stood-apart-from of-the — of-Cyrus judgment and having-engaged
Σαρακηνοῖς πίπτει τε αὐτὸς καὶ σὺν αὐτῷ στρατὸς ἱκανός.
the-Saracens falls both he-himself and with him an-army considerable
Τούτῳ τῷ χρόνῳ ἀνέζευξε πρὸς τὰ οἰκεῖα Ἡράκλειος καὶ
at-this the time withdrew to the private-places Heraclius and
ηὐλίζετο ἐν τῷ παλατίῳ τῷ καλουμένῳ τῆς Ἱερίας· ἐδεδίει
encamped in the palace the called — of-Hieria he-feared
γὰρ ἐπιβῆναι θαλάσσῃ, πολλά τε ἀξιοῦντες οἵ τε ἄρχοντες
for to-go-upon the-sea much and begging the both officials
καὶ οἱ τῆς πόλεως ἐν τῇ πόλει εἰσελθεῖν ἔπειθον οὐδαμῶς.
and those of-the city into the city to-enter persuaded in-no-way
ἐν δὲ ταῖς ἑορταῖς μόνους τοὺς υἱοὺς ἐξέπεμπε, καὶ αὐτοὶ
in but the feasts only the sons he-sent-out and they
ἐπιτελοῦντες ἐν τῷ ἱερῷ τὴν θείαν λειτουργίαν εὐθὺς πρὸς
celebrating in the shrine the divine liturgy at-once to
αὐτὸν ἐξῄεσαν. ὡσαύτως καὶ τοὺς ἱππικοὺς ἀγῶνας ἡνίκα
him went-out likewise also the horse contests when
ἐθεῶντο, πάλιν πρὸς τὸν πατέρα ἀπεχώρουν. ἐν ᾧ
they-watched again to the father went-away in which
δὲ διέτριβεν ἐκεῖσε, ἀγγέλλεται αὐτῷ ὡς ὁ υἱὸς αὐτοῦ
and he-spent-time there it-is-announced to-him that the son his
Ἀταλάριχος καὶ Θεόδωρος ὁ τὴν ἀξίαν μάγιστρος, Θεοδώρου
Atalarichus and Theodore the — in-rank magister of-Theodore

δὲ τοῦ βασιλέως ἀδελφοῦ υἱός, σὺν ἄλλοις τισὶν ἐπιβουλεύειν
and the emperor's brother son with others some to-plot-against
αὐτῷ ἤμελλον· καὶ τοῖς μηνύσασι πεισθεὶς τούτων τὰς
him were-about and by-those having-informed persuaded of-these the
ῥῖνας καὶ τὰς χεῖρας ἐξέτεμε, καὶ Ἀταλάριχον μὲν εἰς τὴν
noses and the hands he-cut-off and Atalarichus indeed to the
νῆσον τὴν λεγομένην Πρίγκιπον ἐξόριστον ἔπεμψε, Θεόδωρον
island the called Prinkipos in-exile sent Theodore
δὲ πρὸς τὴν νῆσον τὴν Γαυδομελέτην προσαγορευομένην,
and to the island the Gaudomelete called
ἐπιτρέψας τῷ ἐκεῖσε δουκί, ἡνίκα πρὸς αὐτὸν καταλάβοι, καὶ
having-ordered the there duke when to him he-should-arrive also
τὸν ἕτερον τῶν ποδῶν ἀφελέσθαι. κατὰ ταῦτα δὲ καὶ
the one of-the feet to-take-off according-to these-things and also
τοὺς συγγνόντας αὐτοῖς τὰ τῆς ἐπιβουλῆς ἐτιμωρήσατο.
those privy with-them the-things of-the plot he-punished
Χρόνου δὲ ἱκανοῦ διελθόντος παρασκευάζουσιν οἱ τοῦ
of-time and sufficient having-passed prepare the of-the
βασιλέως ἄρχοντες τὸν ὕπαρχον ὡς συναγαγεῖν πλεῖστα
emperor officials the prefect so-that to-collect very-many
πλοῖα καὶ ἐχόμενα ἀλλήλοις ἐξάψας ὥσπερ γεφυρώσει
boats and holding-to one-another having-fastened as-it-were he-might-bridge
τὸν πόρθμον τοῦ καλουμένου Στενοῦ, κλώνοις τε δένδρων
the strait of-the called Stenon with-branches both of-trees
καὶ φυλλάσιν ἑκατέρωθεν διατειχίσειεν, ὡς μηδὲ ὁρᾶσθαι
and with-leaves on-each-side might-wall-off so-that not-even to-be-seen
παριόντι τὴν θάλασσαν. καὶ δὴ τὸ ἔργον εἰς τάχος
by-one-passing the sea and indeed the work into speed
προυχώρει, καὶ ὁ βασιλεὺς ἱππεὺς διὰ θαλάττης
advanced and the emperor as-horseman through sea
ὥσπερ διὰ τῆς ἠπείρου κατὰ τὰς ἀκτὰς τοῦ λεγομένου
as through the mainland along the shores of-the called

κόλπου Φιδαλίας ἐπεραιοῦτο, οὔτε τὸν παράκτιον χῶρον
gulf of-Phidalia crossed nor the coastal place
παραμείψας διὰ τῆς γεφύρας τοῦ Βαρβύσσου ποταμοῦ
having-passed through the bridge of-the Barbysses river
πρὸς τὸ Βυζάντιον εἰσήει. καὶ μετὰ ταῦτα Ἡράκλειον
to — Byzantium entered and after these-things Heraclius
τὸν Καίσαρα στέφει βασιλέα.
the Caesar crowns emperor
Κατὰ δὲ τὴν δωδεκάτην ἰνδικτιόνα ἐτελεύτα Σέργιος
at and the twelfth indiction died Sergius
ὁ τοῦ Βυζαντίου πρόεδρος. καὶ ἐπειδήπερ προσέκειτο
the — of-Byzantium president and since was-attached
Ἡράκλειος Πύρρῳ, ἀδελφόν τε ἐκάλει, ὡς ἡνίκα τῷ
Heraclius to-Pyrrhus brother and called-him as when with-the
θείῳ λουτρῷ ἐφωτίζετο ἡ τοῦ βασιλέως ἀδελφὴ χερσὶν
divine bath he-was-enlightened the of-the emperor sister in-hands
ἐδέξατο, καὶ ἅμα ᾠκειωμένον Σεργίῳ καὶ συνδιαιτώμενον
received-him and at-once intimate with-Sergius and living-with-him
ἐγίνωσκε, τοῦτον ἀρχιερέα τοῦ Βυζαντίου ἀνηγόρευσεν. ἤδη
he-knew him high-priest — of-Byzantium proclaimed already
χρόνοις τισὶ πρότερον Κῦρον τὸν Ἀλεξανδρείας πρόεδρον
in-years some before Cyrus the of-Alexandria president
μετάκλητον εἰς Βυζάντιον ἦν πεποιηκώς, καὶ ἐν αἰτίᾳ
summoned to Byzantium he-had made and in blame
μεγάλῃ εἶχεν ὡς τὰ τῆς Αἰγύπτου πάσης Σαρακηνοῖς
great had-him as the — of-Egypt whole to-the-Saracens
καταπροέμενον πράγματα. τηνικαῦτα δὲ περὶ τῶν
having-thrown-away affairs at-that-time and about the-things
αἰτιαθέντων ἐπὶ πλείστου ἀθροισθέντος τοῦ τῆς πόλεως
charged in very-great-number having-gathered the of-the city
ἐπεξῄει δήμου. ὁ δὲ ἀπελογεῖτο ὡς οὐδαμῶς τούτων
went-against people he but defended-himself that in-no-way of-these

ἔνοχος καθειστήκει, ὡς εἰ ἡ βουλὴ αὐτοῦ προυχώρει καὶ
liable he-stood that if the counsel his had-gone-forward and
τοῖς Σαρακηνοῖς δι᾽ ἐμπολῆς τὰ τῆς φορολογίας
to-the Saracens through trade the-things of-the tribute
παρεῖχε καὶ ἐφ᾽ ἑαυτοῖς ἡσύχαζον, καὶ τὰ τῷ βασιλεῖ
supplied and by themselves they-kept-quiet and the-things to-the emperor
παρεχόμενα οὐ καθυστερίζοιτο. ἄλλους τε ταὐτὰ
supplied not would-be-delayed others both the-same-things
ἐπῃτιᾶτο πράξαντας, καὶ αὐτὸν μάτην ὑπὲρ τούτων
he-accused having-done and himself in-vain for these-things
ἐγκαλούμενον ἰσχυρίζετο. ὁ δὲ Ἕλληνα τὸν Κῦρον ἀπεκάλει
being-charged he-maintained he but a-Hellene — Cyrus called
ὡς Ἕλληνι καὶ θεομάχῳ καὶ κατὰ Χριστιανῶν φρονοῦντι
as to-a-Hellene and a-God-fighter and against Christians minded
τῷ Ἄμβρῳ τῷ τῶν Σαρακηνῶν φυλάρχῃ συμβουλεύσαντα
— to-Amr the of-the Saracens chief having-advised
τὴν τοῦ βασιλέως κατεγγυηθῆναι θυγατέρα. ἐν τούτοις οὖν
the of-the emperor to-be-betrothed daughter in these-things then
ἀγανακτήσας κατ᾽ αὐτοῦ καὶ ἀναιρήσειν ἀπειλῶν, τῷ
having-become-indignant against him and to-kill-him threatening to-the
τῆς πόλεως αὐτὸν ὑπάρχῳ ὡς αἰκισομένῳ παραδίδωσι.
of-the city him prefect as going-to-torture hands-over
Μετὰ τοῦτο ἐδικαίου τὸν υἱὸν Ἡράκλειον ὑπατεῦσαι, Δαβίδ
after this he-thought-fit the son Heraclius to-be-consul David
τε καὶ Μαρῖνον τοὺς υἱοὺς αὐτοῦ Καίσαρας ἀνηγόρευσεν,
both and Marinus the sons his Caesars proclaimed
Αὐγουστῖναν δὲ καὶ Μαρτῖναν τὰς θυγατέρας Αὐγούστας.
Augustina then and Martina the daughters Augustae
χρόνου δὲ διελθόντος νόσῳ ὑδερικῇ περιπίπτει, καὶ ὁρῶν
of-time and having-passed into-disease dropsical falls and seeing
τὸ πάθος δυσίατον — ἐπὶ τοσοῦτο γὰρ ἐπεκτείνετο ὡς καὶ
the affliction hard-to-heal to so-great for it-extended that even

ἡνίκα ἀπουρεῖν ἔμελλε σανίδα κατὰ τοῦ ἤτρου ἐπετίθει·
when to-urinate he-was-about a-board against the abdomen he-put
ἐστρέφετο γὰρ αὐτοῦ τὸ αἰδοῖον καὶ κατὰ τοῦ προσώπου
was-turned for his the genital and against the face
αὐτοῦ τὰ οὖρα ἔπεμπεν. ἔλεγχος δὲ ἦν τοῦτο τῆς
his the urine sent proof and was this of-the
παρανομίας τῆς ἑαυτοῦ, ὑπὲρ ἧς ταύτην δίκην ὑστάτην
lawlessness the his-own for which this penalty last
ἐξέτισε τοῦ εἰς τὴν ἀνεψιὰν τὴν οἰκείαν γάμου. διαθήκας
he-paid of-the to the niece the own marriage testaments
οὖν ἐξετίθει, ὥστε Κωνσταντῖνον καὶ Ἡράκλειον τοὺς υἱοὺς
then he-set-forth so-that Constantine and Heraclius the sons
αὐτοῦ βασιλεῖς ἰσοτίμους εἶναι, καὶ Μαρτῖναν τὴν αὐτοῦ
his emperors equal-in-honor to-be and Martina the his
γυναῖκα τιμᾶσθαι παρ᾽ αὐτῶν ὡς μητέρα καὶ βασίλισσαν.
wife to-be-honored by them as mother and empress
ἐκ τούτου λοιπὸν ἐτελεύτα ζήσας ἔτη ἓξ καὶ ἑξήκοντα, ἐν
from this henceforth he-died having-lived years six and sixty in
δὲ τῇ βασιλείᾳ διανύσας ἔτη τριάκοντα μῆνας τέσσαρας
and the kingship having-completed years thirty months four
ἡμέρας ἕξ. θάπτεται δὲ ἐν τῷ ἱερῷ τῶν πανευφήμων
days six is-buried and in the shrine of-the all-praised
ἀποστόλων, καὶ τρισὶν ἡμέραις ἀσκεπές, ὥσπερ ἦν
apostles and for-three days uncovered as he-had
διατάξας ἔτι περιών, τὸ ὑποδεξάμενον αὐτοῦ τὸ σῶμα
ordered still living the having-received his the body
διετέλει μνῆμα, περικαθημένων αὐτὸ εὐνούχων ὑπηρετῶν.
remained tomb sitting-around it eunuch servants
Μετὰ τοῦτο Μαρτῖνα ἡ Αὐγούστα προσκαλεῖται Πύρρον
after this Martina the Augusta summons Pyrrhus
τὸν ἀρχιερέα καὶ τοὺς βασιλικοὺς ἄρχοντας, ἐκκλησιάσασα
the high-priest and the imperial officials having-assembled

καὶ τὸν περὶ τὸ Βυζάντιον λαόν, τάς τε διαθήκας Ἡρακλείου
also the about — Byzantium people the and testaments of-Heraclius
ὑπεδείκνυ, ὡς περὶ αὐτῆς καὶ τῶν τέκνων διέθετο. ὁ
showed how about her and the children he-had-disposed the
δὲ παρὼν ἅπας δῆμος Κωνσταντῖνον καὶ Ἡράκλειον τοὺς
but present whole people Constantine and Heraclius the
βασιλεῖς ἐπεζήτει· ἡ δὲ ἦγεν αὐτούς, καὶ ἅμα διελογίζετο
emperors sought she and brought them and at-once reasoned
νομίζουσα ἅτε βασίλισσα τὰ πρῶτα εἰς τὴν βασιλείαν
thinking inasmuch-as empress the first-place in the kingship
φέρεσθαι. τινὲς δὲ τοῦ συνεστῶτος λαοῦ ἀνεφώνουν πρὸς
to-carry some but of-the standing-together people called-out to
αὐτὴν ὅτι "σὺ μὲν τιμὴν ἔχεις ὡς μήτηρ βασιλέων, οὗτοι
her that you indeed honor have as mother of-emperors these
δὲ ὡς βασιλεῖς καὶ δεσπόται". ἐξαίρετον δὲ ἐδίδουν γέρας
but as emperors and masters special and they-gave privilege
Κωνσταντίνῳ ὡς πρώτῳ εἰς τὴν βασιλείαν κατὰ τὴν
to-Constantine as first into the kingship by the
ἡλικίαν ἐκ παιδὸς προχειρισθέντι. "οὐδὲ γὰρ βαρβάρων ἢ
age from a-child appointed not-even for barbarians or
ἀλλοφύλων πρὸς τὰ βασίλεια εἰσερχομένων, ὦ δέσποινα,"
foreigners to the palace coming O mistress
ἔφασκον, "δύνασαι ὑποδέχεσθαι ἢ λόγοις ἀμείβεσθαι·
they-said can-you to-receive or with-words to-answer
μηδὲ δοίη θεὸς ἐν τούτῳ τάξεως τὴν Ῥωμαϊκὴν ἐλθεῖν
nor may-grant God into this of-order the Roman to-come
πολιτείαν". καὶ κατήρχοντο ἀνευφημοῦντες τοὺς βασιλεῖς.
state and they-began acclaiming the emperors
ταῦτα ἀκούσασα πρὸς τὸ ἑαυτῆς ὑπεχώρει παλάτιον.
these-things having-heard to the her-own withdrew palace

Ἐξ οὗ καὶ Κωνσταντῖνος τῆς βασιλείας ἦρχε.
from which-time also Constantine of-the kingship ruled
προσαγγέλλει δὲ αὐτῷ Φιλάγριος, ὃς ἦν τῶν βασιλικῶν
reports and to-him Philagrius who was of-the imperial
χρημάτων ταμίας, ὡς ἀσθενοῦντος τοῦ πατρὸς Ἡρακλείου
moneys treasurer that being-sick the father Heraclius
χρήματα Πύρρῳ τῷ ἀρχιερεῖ παρατίθεσθαι Μαρτίνης τῆς
moneys with-Pyrrhus the high-priest to-be-deposited Martina the
βασιλίσσης ἕνεκεν, ὡς μή ποτε αὐτὴ ὑπὸ Κωνσταντίνου
empress for-the-sake-of that not ever she by Constantine
τοῦ βασιλέως καὶ προγόνου ἐκ τῶν βασιλείων διωθουμένη
the emperor and stepson from the palace being-thrust-out
χρημάτων καθυστερίζοιτο. ὁ δὲ Πύρρον μεταστειλάμενος
of-moneys should-be-in-want he and Pyrrhus having-sent-for
διεπυνθάνετο εἰ οὕτω ταῦτα ἔχοι. Πύρρος δὲ ὑπὸ
inquired whether thus these-things were Pyrrhus and by
Φιλαγρίου διελεγχόμενος προεδίδου καὶ οὐκ ἐθέλων τὰ
Philagrius being-convicted handed-over even not wishing the
χρήματα. ἐπεὶ δὲ νόσῳ χρονίᾳ Κωνσταντῖνος συνείχετο
moneys when and by-disease chronic Constantine was-held
καὶ εὐκρασίας ἀέρων ἕνεκεν ἐν Χαλκηδόνι διέτριβεν
and of-mildness of-airs for-the-sake in Chalcedon was-spending-time
ἐν τῷ ὑπ᾽ αὐτοῦ κτισθέντι παλατίῳ, ἰδὼν Φιλάγριος
in the by him built palace having-seen Philagrius
ἀρρώστως αὐτὸν διακείμενον, καὶ ἐλπίσας τάχιον
sickly him disposed and having-expected quite-soon
ἀποβιῶσαι, ἐδεδίει Ἡράκλειον καὶ Μαρτῖναν ὡς αὐτὸν
to-depart-life feared Heraclius and Martina as him
κακώσοντας. ἐκ τούτου Κωνσταντίνῳ συνεβούλευε γράφειν
going-to-harm from this Constantine he-advised to-write
τοῖς στρατευομένοις ὡς τελευτῆς συμβαινούσης αὐτῷ
to-the soldiers that death happening to-him

ἀντιλαβέσθαι τῶν τέκνων αὐτοῦ, καὶ μὴ συγχωρεῖν
to-take-up-the-cause of-the children his and not to-allow-them
ἀδικεῖσθαι μηδὲ τῆς βασιλείας διωθεῖσθαι. ἐφ' οἷς ἡσθεὶς
to-be-wronged nor from-the kingship to-be-thrust-out at which pleased
Κωνσταντῖνος Οὐαλεντῖνον τὸν Φιλαγρίου ὑπασπιστὴν τά
Constantine Valentinus the of-Philagrius shield-bearer the
τε γράμματα καὶ τὴν λοιπὴν τοῦ πράγματος ἐργασίαν
both letters and the remaining of-the matter work
ἐγχειρίσας πρὸς τὸ στράτευμα ἐξέπεμψε, δεδωκὼς αὐτῷ
having-entrusted to the army sent-out having-given to-him
χρήματα συντελοῦντα εἰς ποσότητα ἀριθμοῦ μυριάδων
moneys amounting to a-quantity of-number ten-thousands
διακοσίων καὶ ἔτι μύρια καὶ ἑξακισχίλια νομίσματα,
two-hundred and further ten-thousand and six-thousand coins
ὑποθέμενος πείθειν τοὺς τοῦ στρατιωτικοῦ καταλόγου
having-suggested to-persuade those of-the military roll
μετὰ τελευτὴν Κωνσταντίνου ἀντικαθίστασθαι Μαρτίνῃ
after the-death of-Constantine to-oppose Martina
καὶ τοῖς τέκνοις αὐτῆς. συμβασιλεύσας δὲ τῷ πατρὶ
and the children her having-reigned-jointly and with-the father
ἔτη ὀκτὼ καὶ εἴκοσι, καὶ ἐπιβιοὺς εἰς τὴν βασιλείαν
years eight and twenty and having-survived in the kingship
ἔτι ἡμέρας ἑκατὸν τρεῖς, ἐτελεύτησε.
further days hundred three he-died
Μεθ' ὃν αὐτοκράτωρ τῆς βασιλείας ἀναγορεύεται
after whom sole-ruler of-the kingship is-proclaimed
Ἡράκλειος, ᾧ συνελάμβανεν εἰς τὰ τῆς βασιλείας
Heraclius whom helped in the of-the kingship
πράγματα καὶ ἡ μήτηρ Μαρτῖνα. εὐθὺς οὖν τὸν τοῦ
affairs also the mother Martina at-once then the of-the
πατρὸς στέφανον, ὃν καὶ συνέθαψαν αὐτῷ καὶ ὁ υἱὸς
father crown which also they-buried-with him and the son

Κωνσταντῖνος τοῦ ναοῦ ἐξήνεγκε τιμηθέντα μέχρι χρυσίου
Constantine from-the temple brought-out valued up-to of-gold
λιτρῶν ἑβδομήκοντα, τῷ θεῷ προσφέρει ἐν τῷ ἱερῷ,
pounds seventy — to-God offers in the shrine
Κῦρον δὲ τὸν πρόεδρον Ἀλεξανδρείας τῷ οἰκείῳ θρόνῳ
Cyrus and the president of-Alexandria to-the own throne
ἀποκαθίστησι. Φιλάγριον δὲ ἀποκείρας ἐξόριστον εἰς τὸ
restores Philagrius and having-shorn into-exile to the
Σέπτας λεγόμενον φρούριον πρὸς ἥλιον δύνοντα κατὰ
Septa called fortress toward the-sun setting on
θάτερα τῶν Ἡρακλέος στηλῶν πρὸς τῇ Λιβύῃ κείμενον
the-other-side of-the of-Heracles pillars by — Libya lying
παρέπεμψεν. ἑτέρους τε πλείστους, οὓς εὗρε φίλους καὶ
sent-off others and very-many whom he-found friends and
ὑπηρέτας αὐτοῦ, πληγαῖς καὶ ἑτέραις αἰκίαις ἠμύνατο.
servants his with-blows and other tortures he-punished
Οὐαλεντῖνος δὲ ὁ Φιλαγρίου ὑπασπιστὴς ταῦτα αἰσθόμενος
Valentinus and the of-Philagrius shield-bearer these-things having-perceived
τὸ στρατιωτικὸν κατὰ Μαρτίνης καὶ τῶν τέκνων αὐτῆς
the soldiery against Martina and the children her
ἐτάραττε· μεθ' ὧν τὴν Χαλκηδόνος καταλαμβάνει ὡς τοῖς
stirred-up with whom the of-Chalcedon seizes as the
τέκνοις Κωνσταντίνου ἐπικουρήσων, καὶ αὐτοῦ διέτριβεν.
children of-Constantine going-to-help and there spent-time
Ἡράκλειος δὲ τήν τε πόλιν ἐν τῷ ἀσφαλεῖ εἶχε, καὶ πᾶσιν
Heraclius but the both city in the safe held and to-all
ἀπελογεῖτο ὡς Ἡράκλειος ὁ υἱὸς Κωνσταντίνου ἀπήμαντος
made-defense that Heraclius the son of-Constantine unharmed
διαμένει, καὶ πᾶσι ὑγιέα καὶ σῶον ὑπεδείκνυ, καὶ ἅμα
remains and to-all healthy and safe showed and at-once
ὡς τέκνου γνησίου περιείχετο. καὶ τοῦτο ἐπιστοῦτο τῷ
as a-child true embraced and this he-confirmed by-the

ἐκ τοῦ σωτηριώδους βαπτίσματος ἀγκάλαις δέξασθαι.
from the saving baptism in-arms to-have-received
καὶ συμπαρόντος Πύρρου τοῦ τῆς πόλεως ἱεράρχου τῶν
and being-present-with Pyrrhus the of-the city hierarch the
ζῳοποιῶν ξύλων ἥπτετο καὶ διώμνυτο ὡς οὔτε δι᾽
life-giving wood he-touched and swore that neither through
αὐτοῦ οὔτε δι᾽ ἑτέρου τὰ τοῦ Κωνσταντίνου τέκνα
him nor through another the — of-Constantine children
βλαβήσεται. Οὐαλεντῖνον δὲ ἀπισχυρίζετο δεικνύειν ὡς
will-be-harmed Valentinus but he-maintained to-show as
ἐπιβουλεύσαντα αὐτοῖς καὶ τῆς βασιλείας ἐπορεγόμενον.
having-plotted-against them and after-the kingship reaching
ὡς δὲ εἰς πλεῖον ἅπαντα βεβαιώσηται, συλλαβὼν μεθ᾽
so-that and to more all-things he-might-confirm having-taken with
ἑαυτοῦ Ἡράκλειον πρὸς Οὐαλεντῖνον περαιοῦται, καὶ πάλιν
himself Heraclius to Valentinus crosses and again
ἐβουλεύετο διόμνυσθαι καὶ πείθειν αὐτοὺς ὡς φιλοστόργως
he-planned to-swear and to-persuade them that affectionately
διάκειται πρὸς Ἡράκλειον. Οὐαλεντῖνος δὲ οὐκ ἐδέχετο ἀλλ᾽
he-is-disposed toward Heraclius Valentinus but not accepted but
ἀπέπεμπε, καὶ δὴ ὑπενόστει καὶ διηγεῖτο πάντα τοῖς
sent-away and indeed he-returned and related all-things to-those
τῆς πόλεως. οἱ δὲ ἐπείθοντο καὶ Οὐαλεντῖνον ἐδυσφήμουν.
of-the city they and were-persuaded and Valentinus spoke-ill-of
Τῆς τρύγης δὲ ἐπιλαβούσης, οἱ τῆς πόλεως αἰσθόμενοι
the vintage and having-come those of-the city having-perceived
ὡς ὁ μετὰ Οὐαλεντίνου στρατὸς τούς τε ἀμπελῶνας
that the with Valentinus army the both vineyards
αὐτῶν διαφθείρει κἀκείνους οὐ συγχωρεῖ ἐκεῖσε περαιοῦσθαι,
their destroys and-them not allows there to-cross-over
συνίστανται Πύρρῳ βοῶντες στέφειν Ἡράκλειον τὸν
band-together to-Pyrrhus shouting to-crown Heraclius the

Κωνσταντίνου υἱόν. Πύρρος δὲ τὴν ταραχὴν καὶ τὴν
of-Constantine son Pyrrhus but the disturbance and the
στάσιν τοῦ λαοῦ περιαθρήσας ἀπελογεῖτο ὡς οὐ διὰ
revolt of-the people having-surveyed made-defense that not because-of
τοῦτο αὐτοὶ στασιάζουσιν, ἀλλ' Οὐαλεντίνῳ τὴν βασιλείαν
this they revolt but for-Valentinus the kingship
περιποιοῦνται. ἔτι οὖν ἐπικειμένου τοῦ ὄχλου δῆλα ποιεῖ
are-securing still then pressing-on the crowd clear he-makes
βασιλεῖ ἅπαντα. ὁ δὲ συλλαβόμενος τὸν ἀνεψιὸν
to-the-emperor all-things he but having-taken the nephew
Ἡράκλειον εὐθέως ἐπὶ τὸ ἱερὸν ἐχώρει καὶ ἀνέρχεται ἅμα
Heraclius at-once to the shrine went and goes-up with
Πύρρῳ ἐν τῷ ἄμβωνι καὶ προτρέπεται στέφειν Ἡράκλειον.
Pyrrhus in the ambo and is-urged to-crown Heraclius
οἱ δὲ ὄχλοι τὸν βασιλέα ἐβιάζοντο τὸ ἔργον ἐπιτελεῖν. ὁ
the and crowds the emperor forced the deed to-accomplish he
δὲ λαβὼν ἐκ τῆς ἐκκλησίας τὸν τοῦ πατρὸς Ἡρακλείου
and having-taken from the church the of-the father Heraclius
στέφανον τὸ ἔργον ἐπλήρου. εὐθὺς οὖν τὸν στεφθέντα
crown the deed fulfilled at-once then the crowned
Κωνσταντῖνον οἱ ὄχλοι μετονομάζουσι. τὸ οὖν ἀχυρῶδες
Constantine the crowds rename the then chaff-like
καὶ ἀγροικωδέστερον τοῦ λαοῦ κατὰ Πύρρου τὰς χεῖρας
and more-boorish of-the people against Pyrrhus the hands
ὥπλιζον, καὶ πρὸς τὸ ἱερὸν γενόμενοι αὐτὸν μὲν οὐχ
armed and to the shrine having-come him indeed not
εὗρον, κατὰ δὲ τὸν καιρὸν τῆς τοῦ λυχνικοῦ συνάξεως
found at and the time of-the of-the lamp-lighting gathering
εἰσέρχονται ἐπαγόμενοι Ἑβραίων καὶ ἄλλων κακοδόξων
they-enter bringing-in of-Hebrews and of-other heterodox
ὅμιλον ἐν τῷ θυσιαστηρίῳ. καὶ τὴν μὲν ἐνδυτὴν
a-throng into the sanctuary and the indeed altar-cloth

διαρρηγνῦσι, καὶ τὸν ἱερὸν χῶρον αἰσχρῶς κατερρύπαινον,
they-tear and the holy place shamefully defiled
τάς τε κλεῖς τῶν πυλῶν λαβόντες ἐπὶ κοντοῦ ἀνήρτων,
the and keys of-the gates having-taken on a-pole hung
καὶ οὕτω τὴν πόλιν ἀθέσμως περιήεσαν. Πύρρος δὲ ταῦτα
and thus the city lawlessly went-around Pyrrhus and these-things
μαθὼν τῇ ἐπιούσῃ νυκτὶ ἐν τῷ ἱερῷ παραγίνεται
having-learned on-the following night in the shrine arrives
καὶ πάντα τὰ ἱερὰ ἀσπάζεται καὶ τὸ περικείμενον
and all the holy-things kisses and the lying-around
αὐτῷ ὠμόφορον περιελὼν τῇ ἱερᾷ ἀποτίθεται τραπέζῃ,
him omophorion having-taken-off on-the holy lays-down table
φήσας "τῆς ἱερωσύνης μὴ ἀφιστάμενος ἀποτάσσομαι λαῷ
having-said the priesthood not resigning I-renounce a-people
ἀπειθεῖ". ἐκεῖθεν ἡσυχῇ ἐξελθὼν παρὰ μιᾷ θεοσεβεστάτῃ
disobedient thence quietly having-gone-out with one most-God-fearing
γυναικὶ κρυφῇ κατήγετο καὶ καιροῦ εὐθέτου λαβόμενος
woman secretly lodged and season fitting having-taken
πρὸς τὴν Χαλκηδόνος ἀπέπλει. οὗ τὴν ἔλευσίν τινες τῶν
to the of-Chalcedon sailed-off whose the coming some of-the
μοναζόντων ἐκεῖσε ἀκηκοότες περὶ τῶν ἐκτεθέντων παρὰ
monks there having-heard about the-things set-forth by
τοῦ πάλαι Ἡρακλείου τοῦ βασιλέως καὶ Σεργίου τοῦ
the formerly Heraclius the emperor and Sergius the
τῆς πόλεως ἱεράρχου, ἕνεκεν τῶν δύο ἐπὶ τοῦ σωτῆρος
of-the city hierarch because-of the two in the savior
Χριστοῦ θελημάτων καὶ ἐνεργειῶν ἀνηρεύνων, ὧν
Christ wills and operations investigated of-which
προασπισταὶ ἐτύγχανον Μάξιμος καὶ Θεοδόσιος ὄντες ἐν
champions happened-to-be Maximus and Theodosius being in
Ἀφρικῇ. καὶ τὰ μὲν κατὰ Πύρρον οὕτω πως ἔσχεν.
Africa and the-things indeed concerning Pyrrhus thus somehow went

Ἐπεὶ οὖν τοὺς περὶ Οὐαλεντῖνον ἡ Χαλκηδὼν εἶχεν,
since then those about Valentinus — Chalcedon held
ἀναγκαιοτέρως Ἡράκλειος καὶ Μαρτῖνα, ὡς μὴ ἐπὶ πλεῖον
of-necessity Heraclius and Martina that not to more
τὰ ἐκεῖσε προάστεια βλάπτοιτο, ἑνωθῆναί τε αὐτῷ καὶ
the there suburbs might-be-harmed to-be-united both with-him and
ὅρκοις τὰ πρὸς ἀλλήλους θέσθαι· καὶ ἀξίᾳ αὐτὸν
by-oaths the-things toward one-another to-settle and with-rank him
ἐτίμησαν ἣν Ῥωμαῖοι καλοῦσι κόμητα ἐξσκουβιτόρων,
they-honored which the-Romans call count of-the-excubitors
καὶ μηδ' ὅλως ἐγκαλεῖσθαι περὶ ὧν παρὰ Κωνσταντίνου
and not at-all to-be-charged about what from Constantine
ἐδέξατο χρημάτων, φιλοτιμηθῆναι δὲ χρήμασι τοῖς
he-received moneys to-be-made-largess and with-moneys to-the
συνελθοῦσιν αὐτῷ στρατιώταις, στεφθῆναί τε καὶ Δαβὶδ
having-come-together with-him soldiers to-be-crowned and also David
τὸν Καίσαρα καὶ μετονομασθῆναι Τιβέριον. καὶ τούτων οὕτω
the Caesar and to-be-renamed Tiberius and these thus
τελεσθέντων προχειρίζεται Παῦλος, οἰκονόμος γεγονὼς
having-been-accomplished is-appointed Paul steward having-been
τῆς μεγάλης ἐκκλησίας, ἀρχιερεὺς Κωνσταντινουπόλεως,
of-the great church high-priest of-Constantinople
κατὰ τὸν Ὀκτώβριον μῆνα τῆς πεντεκαιδεκάτης ἰνδικτιόνος.
in the October month of-the fifteenth indiction
Κωνσταντῖνος οὖν ἐν Σικελίᾳ ὑπὸ τῶν ἰδίων ὑπηρετῶν
Constantine then in Sicily by the own servants
δόλῳ φονευθεὶς ἐν τῷ λουτρῷ, ἤδη ἐν τῇ βασιλείᾳ
by-guile murdered in the bath already in the kingship
εἰκοστὸν ἕβδομον ἀνύσας ἔτος, ἐτελεύτα.
twentieth seventh having-completed year died

Under Constantine IV the Arab fleet fought the city for seven years and was wrecked, and the caliph made a thirty-year peace. Kuvrat's son Asparukh led his Bulgars over the Danube, routed the Romans, and won tribute. A council condemned the Monothelites. Justinian II broke the peaces, lost his Slav levy to the Arabs, and set cruel ministers over the people; Leontius deposed him, mutilated him, and exiled him to Cherson. Carthage fell, and the fleet raised Apsimar, who took the city and deposed Leontius. Justinian fled to the Khazars, killed his would-be murderers, retook the city through an aqueduct with Tervel's Bulgars, and executed Leontius and Apsimar, but breaking with the Bulgars he was routed at Anchialus.

Μεθ' ὃν Κωνσταντῖνος ὁ υἱὸς τὰ τῆς βασιλείας
after whom Constantine the son the of-the kingship
ἐγχειρίζεται σκῆπτρα. καὶ τούτου ἀρξαμένου εὐθὺς ὁ
takes-in-hand scepters and he having-begun at-once the
τῶν Σαρακηνῶν ἡγούμενος ναῦς πλείστας κατασκευάσας
of-the Saracens leader ships very-many having-equipped
κατὰ τοῦ Βυζαντίου ἐκπέμπει, ἡγεμόνα τούτων ἐπιστήσας,
against — Byzantium sends-out as-leader of-these having-set
ἄτε πιστότατον καὶ τὰ πολέμια ἔμπειρον, κατὰ τὴν
as most-trustworthy and in-the military-things experienced in the
ἑαυτῶν διάλεκτον Χαλὲβ ὀνομαζόμενον· ὃς ἀναχθεὶς
their-own language Chaleb named who having-put-to-sea
προσωρμίζετο ἐν προαστείοις τοῦ Βυζαντίου, κατὰ τὸν
anchored in suburbs — of-Byzantium at the
παραθαλάσσιον τόπον τὸν καλούμενον Ἕβδομον. τοῦτον
seaside place the called Hebdomon him
αἰσθόμενος Κωνσταντῖνος ἀντιπαρατάττεται καὶ αὐτὸς
having-perceived Constantine is-drawn-up-against-him also himself
στόλῳ μεγάλῳ. ὑφ' ὧν πλεῖσται ναυμαχίαι ἑκάστης
with-a-fleet great by whom very-many sea-battles each

ἡμέρας ἐγίνοντο, τοῦ πολέμου συγκροτουμένου ἀπὸ
day happened the war being-fought from
τοῦ ἐαρινοῦ μέχρι φθινοπωρινοῦ καιροῦ. χειμῶνος δὲ
the spring until autumn season winter and
ἐπιγινομένου ὁ τῶν Σαρακηνῶν στόλος διαπεραιωθεὶς ἐν
coming-on the of-the Saracens fleet having-crossed in
Κυζίκῳ διεχείμαζε, καὶ πάλιν ἔαρος ἀρχομένου ἐκεῖθεν
Cyzicus wintered and again spring beginning thence
ἀνταναχθεὶς ὡσαύτως τοῦ διὰ θαλάσσης πολέμου
having-put-to-sea-again likewise to-the by sea war
εἴχετο. ἑπτὰ οὖν ἔτεσι τοῦ πολέμου διαρκέσαντος τέλος
held for-seven then years the war having-lasted at-last
οὐδὲν πλέον ὁ τῶν Σαρακηνῶν ἤνυσε στόλος, ἀλλὰ
nothing more the of-the Saracens accomplished fleet but
πολλούς τε ἄνδρας μαχίμους ἀποβαλόντες καὶ δεινῶς
many both men warlike having-lost and terribly
τραυματισθέντες καὶ χαλεπῶς ἡττημένοι ὑπενόστουν πρὸς
wounded and grievously defeated they-withdrew to
τὰ οἰκεῖα καταίροντες. πρὸς δὲ τοῖς πελάζουσι τοῦ
the own-places sailing at and the-places near —
Συλλαίου γενόμενοι ὑπὸ σκληρῶν πνευμάτων καὶ θαλασσίου
of-Syllaeum having-come by harsh winds and sea
κλύδωνος καταληφθέντες πανστρατιᾷ διώλοντο. ὁ δὲ τῶν
surge overtaken with-the-whole-army perished the and of-the
Σαρακηνῶν βασιλεὺς τὸ τοῦ στόλου ἀκούσας δυστύχημα
Saracens king the of-the fleet having-heard misfortune
πρέσβεις ἀποστέλλει πρὸς Κωνσταντῖνον ὡς σπεισόμενος
envoys sends to Constantine as going-to-make-a-treaty
πρὸς αὐτὸν ἐπὶ τελέσμασιν ἐνιαυσίοις. ὁ δὲ τούτους
with him on payments yearly he and them
δεξάμενος καὶ τὰ δηλωθέντα ἀκηκοὼς συνεκπέμπει
having-received and the-things declared having-heard sends-out-with

αὐτοῖς Ἰωάννην τὸν πατρίκιον, τὸ ἐπίκλην Πιτζιγαύδιον,
them John the patrician the surname Pitzigaudios
πολυπειρίᾳ καὶ φρονήσει διαφέροντα, ὡς τὰ ἐπὶ τῇ
in-much-experience and in-prudence excelling as the-things for the
εἰρήνῃ διαλεχθησόμενον· ὃς πρὸς τὰ τῶν Σαρακηνῶν
peace going-to-discuss who to the of-the Saracens
γενόμενος ἤθη συμβαίνει τε αὐτοῖς ὅρκοις τὴν εἰρήνην
having-come haunts agrees and with-them by-oaths the peace
βεβαιωσάμενος ἐπὶ τριάκοντα ἔτεσιν, ὥστε παρέχεσθαι
having-confirmed for thirty years so-that to-be-supplied
Ῥωμαίοις ὑπὸ τῶν Σαρακηνῶν ἀνὰ ἔτος ποσότητα χρυσίου
to-the-Romans by the Saracens each year a-quantity of-gold
τρεῖς χιλιάδας ἄνδρας τε αἰχμαλώτους πεντήκοντα καὶ
three thousands men both captive fifty and
ἵππους πεντήκοντα. ταῦτα ἀκηκοότες καὶ οἱ πρὸς τὰ
horses fifty these-things having-heard also those toward the
ἑσπέρια οἰκοῦντες μέρη, τουτέστιν ὁ τῶν Ἀβάρων ἡγεμὼν
western dwelling parts that-is the of-the Avars leader
καὶ οἱ ἐπέκεινα ἄρχοντες τῶν πρὸς δύσιν παρακειμένων
and the beyond rulers of-the toward the-west lying-near
ἐθνῶν διὰ πρέσβεων δῶρα τῷ βασιλεῖ στείλαντες
nations through envoys gifts to-the emperor having-sent
εἰρήνην ἐξήτησαν· ἐφ᾽ οἷς εἴξαντος τοῦ βασιλέως εἰρήνη
peace asked to which having-yielded the emperor peace
τὸ λοιπὸν καὶ γαλήνη ἔν τε τοῖς ἑῴοις ἔν τε τοῖς
the henceforth and calm in both the eastern-parts in and the
ἑσπερίοις ἐβραβεύετο. καὶ ταῦτα μὲν οὕτως ἔσχε.
western-parts was-arbitrated and these-things indeed thus went
Λεκτέον δὲ ἤδη περὶ τῆς τῶν λεγομένων Οὔννων καὶ
it-must-be-told and now about the of-the called Huns and
Βουλγάρων ἀρχῆς καὶ καταστάσεως αὐτῶν. περὶ τὴν
Bulgars origin and establishment their about the

Μαιῶτιν λίμνην κατὰ τὸν Κώφινα ποταμὸν καθίσταται
Maeotic lake by the Kuphis river is-established
ἡ πάλαι καλουμένη μεγάλη Βουλγαρία καὶ οἱ λεγόμενοι
the of-old called great Bulgaria and the called
Κότραγοι, ὁμόφυλοι αὐτῶν καὶ οὗτοι τυγχάνοντες. ἐν δὲ
Kotragoi of-the-same-race with-them also these happening-to-be in and
τοῖς Κωνσταντίνου χρόνοις ὃς κατὰ τὴν δύσιν ἐτελεύτα,
the of-Constantine times who in the west died
Κοβρᾶτός τις ὄνομα κύριος γενόμενος τῶν φύλων τούτων
Kuvrat a by-name lord having-become of-the tribes these
τὸν βίον μεταλλάξας πέντε καταλιμπάνει υἱούς, ἐφ' οἷς
the life having-changed five leaves sons to whom
διατίθεται μηδαμῶς τῆς ἀλλήλων ἀποχωρισθῆναι διαίτης,
he-enjoins in-no-way from-the one-another's to-be-separated way-of-life
ὡς ἂν διὰ τῆς πρὸς ἀλλήλους εὐνοίας τὰ τῆς
so-that — through the toward one-another goodwill the-things of-the
ἀρχῆς αὐτῶν διασώζοιτο. οὗτοι μικρὰ τῆς πατρικῆς
rule their might-be-preserved these little of-the paternal
φροντίσαντες παραινέσεως ὀλίγου παρῳχηκότος χρόνου
having-cared-for exhortation little having-passed time
διέστησαν ἀλλήλων, ἕκαστος αὐτῶν τοῦ λαοῦ ἴδιον
separated from-one-another each of-them of-the people own
μέρος ἀποτεμνόμενος. ὧν ὁ μὲν πρῶτος Βαϊανὸς υἱὸς
part cutting-off of-whom the indeed first Bayan son
λεγόμενος κατὰ τὰ ἐνταλθέντα αὐτῷ παρὰ τοῦ
called according-to the-things commanded to-him by the
πατρὸς ἐν τῇ προγονικῇ γῇ διέμεινε μέχρι τοῦ δεῦρο, ὁ
father in the ancestral land remained until the present the
δὲ δεύτερος λεγόμενος Κότραγος τὸν Τάναϊν περαιωθεὶς
and second called Kotragos the Tanais having-crossed
ποταμὸν ᾤκησε τούτων ἀντικρύ, ὁ δὲ τέταρτος τὸν
river dwelt them opposite the and fourth the

Ἴστρον ποταμὸν διαβὰς ἐν Παννωνίᾳ τῇ νῦν ὑπὸ
Ister river having-crossed in Pannonia the now under
Ἀβάροις κειμένῃ αὐλίζεται ὑπόσπονδος τῷ ἐγχωρίῳ
the-Avars lying encamps under-treaty with-the native
ἔθνει γενόμενος, ὁ δὲ πέμπτος κατὰ τὴν Ῥαβεννησίαν
nation having-become the and fifth at the Ravennan
πεντάπολιν ἱδρυσάμενος ὑπόφορος Ῥωμαίοις ἐγένετο.
Pentapolis having-settled tributary to-the-Romans became
τούτων ὁ λοιπὸς τρίτος ἀδελφὸς ὄνομα Ἀσπαροὺχ τὸν
of-these the remaining third brother by-name Asparukh the
Δάναπριν καὶ τὸν Δάναστριν ποταμὸν περαιωθεὶς περὶ
Dnieper and the Dniester river having-crossed about
τὸν Ἴστρον οἰκίζεται, τόπον πρὸς οἴκησιν ἐπιτήδειον,
the Ister settles a-place for dwelling suitable
Ὄγλον τῇ σφῶν καλούμενον φωνῇ, καταλαβόμενος,
Onglos in-the their called tongue having-seized
δυσχερῆ τε καὶ ἀνάλωτον πολεμίοις ὑπάρχοντα· ἀσφαλής
difficult both and impregnable to-enemies being secure
τέ ἐστι τὰ μὲν ἔμπροσθεν τῇ τε δυσχωρίᾳ καὶ τῷ
and it-is the-parts indeed in-front by-the both roughness and by-the
τελματώδης εἶναι τυγχάνων· τὰ δ' οὖν ὄπισθεν κρημνοῖς
marshy to-be happening the-parts but then behind by-cliffs
ἀβάτοις τετειχισμένα. οὕτω τοίνυν τοῦ ἔθνους διαιρεθέντος
impassable walled thus therefore the nation having-been-divided
καὶ σκεδασθέντος, τὸ τῶν Χαζάρων φῦλον ἀπὸ τοῦ
and scattered the of-the Khazars tribe from the
ἐνδοτέρου τῆς Βερυλίας λεγομένης χώρας ὡς πλησίον τῶν
inner of-the Berylia called country as near the
Σαρματῶν ᾠκημένον πλείστης ἀδείας ἐντεῦθεν ἐπέτρεχον.
Sarmatians dwelling with-very-great license thence overran
τὰ τοιαῦτα πάντα κατέδραμον χωρία τῆς ὑπὲρ Πόντου τὸν
the such all overran places of-the above the-Pontus the

Εὔξεινον γῆς καὶ θαλάττης ἐπέρασε· μεθ᾽ ὧν καὶ Βαϊανὸν
Euxine land and sea crossed with whom also Bayan
ὑπεξούσιον ποιησάμενος εἰς ὑπαγωγὴν φόρων κατέστησε.
subject having-made into payment of-tributes he-brought
Κωνσταντῖνος δὲ ἐπειδὴ ἔγνω ὡς τὸ σκηνῶσαν τὸν
Constantine and when he-learned that the having-encamped-at the
Ἴστρον ἔθνος τὰ πλησιάζοντα τῆς ὑπὸ Ῥωμαίων ἀρχῆς
Ister nation the neighboring of-the under the-Romans rule
χωρία καταθέον διαφθείρειν ἐπεχείρει, στρατὸν ὁπλίτην
places overrunning to-ravage tried an-army heavy-armed
ἐπὶ τὴν Θρᾳκῴαν διαβιβάσας χώραν, ἔτι τε καὶ
to the Thracian having-brought-across country further and also
στόλον ὁπλίσας κατὰ τοῦ ἔθνους ὡς ἀμυνόμενος ᾤχετο.
a-fleet having-armed against the nation as warding-off went
οἱ δὲ Βούλγαροι τῶν τε ἱππικῶν καὶ πλοΐμων τὰ πλήθη
the but Bulgars of-the both cavalry and naval-forces the multitudes
θεασάμενοι καὶ τῷ αἰφνιδίῳ καὶ ἀνελπίστῳ καταπλαγέντες
having-beheld and by-the sudden and unexpected astounded
πρὸς τὰ ἑαυτῶν ὀχυρώματα ἔφυγον, τέτρασιν ἡμέραις
to the their-own strongholds fled for-four days
ἐκεῖσε ὑπομείναντες· καὶ τῶν Ῥωμαίων μὴ δυνηθέντων
there having-held-out and the Romans not having-been-able
αὐτοῖς πολέμῳ συμμῖξαι διὰ τὴν δυσχωρίαν τοῦ τόπου,
with-them in-war to-engage because-of the roughness of-the place
ἀνελάμβανόν τε αὑτοὺς καὶ προθυμότεροι ἐγίνοντο. ὁ δὲ
were-recovering both themselves and more-eager became the and
βασιλεὺς νόσῳ ποδαλγικῇ συσχεθεὶς καὶ ὀξυπαθήσας
emperor by-disease of-gout seized and having-suffered-acutely
ἐπὶ Μεσήμβρειαν τὴν πόλιν ἀπέπλει θεραπείας ἕνεκεν,
to Mesembria the city sailed-off of-treatment for-the-sake
προστάξας τοῖς ἄρχουσι καὶ τοῖς λαοῖς προσεδρεύειν
having-ordered the officials and the troops to-besiege

τῷ ὀχυρώματι καὶ ὅσα πρὸς ἄμυναν τοῦ ἔθνους
the stronghold and whatever-things toward warding-off of-the nation
κατεργάσασθαι. φήμη δέ τις ἐδέδοτο τὸν βασιλέα φεύγειν
to-accomplish report and a was-given the emperor to-flee
μηνύουσα, δι' ἣν θορυβηθέντες οὐδενὸς διώκοντος
announcing through which thrown-into-confusion no-one pursuing
συντόνως ἔφευγον. οἱ δὲ Βούλγαροι ἐπιδόντες ἐπεδίωκον
vehemently they-fled the but Bulgars having-seen pursued
καρτερῶς, καὶ ὅσους μὲν τοῦ λαοῦ κατελάμβανον ἀνῄρουν,
mightily and as-many indeed of-the people they-overtook killed
πλείστους δὲ καὶ ἐτραυμάτιζον. περαιωθέντες δὲ τὸν
very-many and also wounded having-crossed and the
Ἴστρον ἐπὶ τὴν λεγομένην Βάρναν πλησίον Ὀδύσσου καὶ
Ister to the called Varna near Odyssus and
τοῦ ὑπερκειμένου μεσογαίου, τὸ ὀχυρὸν καὶ ἀσφαλὲς τοῦ
the lying-above inland the strong and secure of-the
τόπου πάντοθεν ἔκ τε τοῦ ποταμοῦ καὶ τῆς ἄγαν
place on-all-sides from both the river and the exceeding
δυσχωρίας θεασάμενοι ἐνταῦθα σκηνοῦσι. κρατοῦσι δὲ
roughness having-beheld there they-encamp rule and
καὶ τῶν παρῳκημένων Σκλαβηνῶν ἐθνῶν, καὶ οὓς μὲν
also the neighboring Sclavene nations and some indeed
τὰ πρὸς Ἀβάρους πλησιάζοντα φρουρεῖν, οὓς δὲ τὰ
the-parts toward Avars neighboring to-guard others and the-parts
πρὸς Ῥωμαίους ἐγγίζοντα τηρεῖν ἐπιτάττουσιν. ἐν τούτοις
toward Romans near to-keep they-order in these-things
ὀχυρωθέντων καὶ αὐξηθέντων τὰ ἐπὶ Θρᾴκης χωρία τε καὶ
fortified and increased the on Thrace places both and
πολίσματα καταδῃοῦν ἐπεχείρουν. τῷ βασιλεῖ δὲ ἀνάγκη
towns to-ravage they-tried for-the emperor and necessity
ἦν ταῦτα ὁρῶντι ἐπὶ τελέσμασι πρὸς αὐτοὺς σπένδεσθαι.
there-was these-things seeing on payments with them to-make-a-treaty

Οὕτω τοιγαροῦν εἰρηνευούσης πάντοθεν τῆς Ῥωμαίων
thus therefore being-at-peace on-all-sides the of-the-Romans
βασιλείας ἡ τῶν Μονοθελητῶν δυσσεβὴς αἵρεσις ἐκρατύνετο,
kingship the of-the Monothelites impious heresy was-strengthening
ἤδη τῶν ἀφ' Ἡρακλείου τοῦ βασιλέως χρόνων λαβοῦσα τὴν
already the from Heraclius the emperor times having-taken the
ἀρχήν· καὶ σχίσμα ἦν περὶ τὴν καθολικὴν ἐκκλησίαν. ταῦτα
beginning and a-schism was about the catholic church these-things
διαγνοὺς Κωνσταντῖνος σύνοδον οἰκουμενικὴν συγκροτεῖ,
having-discerned Constantine a-council ecumenical convenes
ἣ τὰς μὲν προλαβούσας πέντε ἁγίας οἰκουμενικὰς
which the indeed preceding five holy ecumenical
συνόδους ἐκύρωσε καὶ τὰ δύο ἐπὶ τοῦ σωτῆρος Χριστοῦ
councils ratified and the two in the savior Christ
θελήματα καὶ δύο φυσικὰς ἐνεργείας, τέλειον αὐτὸν ἐν
wills and two natural operations perfect him in
θεότητι καὶ τέλειον ἐν ἀνθρωπότητι διατρανώσασα καὶ
godhead and perfect in manhood having-made-clear and
τῷ ἀναθέματι τοὺς τῆς αἱρέσεως ἄρξαντας παραπέμψασα.
to-the anathema those of-the heresy having-begun having-consigned
οὕτως ἐν γαλήνῃ καὶ εἰρηνικῇ καταστάσει τὸ λοιπὸν τῆς
thus in calm and peaceful condition the rest of-the
ζωῆς διατελέσας τῷ ἑπτακαιδεκάτῳ ἔτει τῆς βασιλείας
life having-completed in-the seventeenth year of-the kingship
αὐτοῦ ἐτελεύτα. καὶ κατατίθεται αὐτοῦ τὸ λείψανον ἐν
his he-died and is-laid-down his the remains in
τοῖς βασιλείοις τῶν ἁγίων ἀποστόλων μνήμασι.
the imperial of-the holy apostles tombs
Καταλιμπάνει δὲ εἰς τὴν βασιλείαν τὸν υἱὸν Ἰουστινιανὸν
he-leaves and to the kingship the son Justinian
ἑκκαιδέκατον ἔτος τῆς ἡλικίας ἄγοντα, ὃς τῆς βασιλείας
sixteenth year of-the age leading who of-the kingship

ἐπιλαβόμενος τὰ ὑπὸ τοῦ πατρὸς τῆς εἰρήνης ἕνεκεν
having-taken-hold the-things by the father of-the peace for-the-sake
καὶ τῆς ἄλλης πολιτικῆς εὐταξίας βραβευθέντα διέστρεφε.
and of-the other civic good-order arbitrated overturned
μεθ' ὧν λύει καὶ τὴν πρὸς τοὺς Βουλγάρους γενομένην
with which he-dissolves also the with the Bulgars made
εἰρήνην. ἱππικὰ δὲ στρατεύματα πρὸς τοῖς Θρᾳκῴοις
peace cavalry and armies to the Thracian
διαγαγὼν χωρίοις κατὰ τῶν Σκλαβηνῶν εὐθέως ὥρμησε.
having-led-across places against the Sclavenes at-once set-out
μέχρι δὲ Θεσσαλονίκης ἐκδραμὼν πόλεως, πολλὰ τῶν
as-far-as and Thessalonica having-run-out city many of-the
ἐκεῖσε Σκλαβηνῶν γένη τὰ μὲν πολέμῳ τὰ δὲ ὁμολογίᾳ
there Sclavene tribes some indeed by-war some and by-agreement
παραλαβών, εἰς τὴν τοῦ Ὀψικίου λεγομένην χώραν διὰ
having-taken-over into the of-the Opsikion called country through
τῆς Ἀβύδου διαβιβάσας κατέστησεν. ἐξ ὧν στρατεύει
— Abydos having-brought-across settled from whom he-enlists
but those having-come of-the Opsikion army the such

ὁδοιπορίαν δεδοίκεσαν. στασιάζουσιν οὖν ἐξ αὐτοῦ, καὶ
journey feared revolt then from it and
τὸν μὲν βασιλέα Ἀναστάσιον ἐδυσφήμουν, Ἰωάννην δὲ
the indeed emperor Anastasius reviled John and
τὸν διάκονον ῥομφαίᾳ ἀναλίσκουσιν. ἐντεῦθεν λοιπὸν οἱ
the deacon with-a-sword destroy thence henceforth the
στόλοι σκεδάννυνται, καὶ πρὸς τὰ οἰκεῖα ἀπέπλευσαν
fleets are-scattered and to the own-places sailed-off
ἕκαστοι. αὐτοὶ δὲ ἐπὶ τὴν ἑαυτῶν ἀνιόντες καὶ πρὸς τὸ
each they and to the their-own going-up and at —
Ἀδραμύντιον γενόμενοι ἐκεῖσε εὑρίσκουσι Θεοδόσιόν τινα
Adramyttium having-come there find Theodosius a
ὄνομα, τῶν δημοσίων φόρων πράκτορα, ἀπράγμονά τινα
by-name of-the public tributes exactor a-quiet-man some
καὶ ἰδιώτην τυγχάνοντα, καὶ πρὸς τὴν τῆς βασιλείας
and private-person being and to the of-the kingship
ἀξίαν προτρέπουσιν. ὁ δὲ φυγὰς ᾤχετο καὶ εἰς ὄρος
dignity urge he but as-fugitive went and on a-mountain
κατεκρύπτετο. αὐτοὶ δὲ ἐπιδραμόντες καὶ βιασάμενοι
hid they and having-run-up and having-forced
βασιλέα τε ἀναγορεύουσι καὶ μεθ' ἑαυτῶν ἄγουσι.
emperor both proclaim and with themselves lead
Ταῦτα Ἀναστάσιος μεμαθηκὼς τὸ μὲν Βυζάντιον ἤδη
these-things Anastasius having-learned — indeed Byzantium already
προκατοχυρώσας ἐν τῇ πόλει Νικαίας τῆς κατὰ Βιθυνίαν
having-fortified-beforehand to the city of-Nicaea the in Bithynia
ἐξέρχεται, κἀκεῖσε ἑαυτὸν κατασφαλίζεται. ὁ δὲ μετὰ
goes-out and-there himself secures the and with
Θεοδοσίου στρατὸς συλλαβὼν ἅπαντα τὸν τοῦ Ὀψικίου
Theodosius army having-taken all the of-the Opsikion
στρατὸν καὶ πλεῖστα σκάφη ἐμπορικά, κατὰ τὸ ἤδη καὶ
army and very-many vessels merchant at the already also

πρόσθεν εἰρημένον παραθαλασσίῳ χωρίῳ Χρυσοπόλεως
before mentioned seaside place of-Chrysopolis
παραγίνεται. ἐκεῖθέν τε ἐφ' ἑκάστου τοῖς ἐκ τῆς πόλεως
arrives thence and on each-day on-those from the city
πόλεμον προσέβαλεν, ἐπὶ μησί τε ἓξ τὰ τῆς μάχης
war brought for months and six the-things of-the battle
διήρκεσε. καὶ ὁ τοῦ Ἀναστασίου στόλος πρὸς τῷ Νεωρίῳ
lasted and the — of-Anastasius fleet at the Neorion
τῆς πόλεως καλουμένῳ λιμένι κατῆρε, ὁ δὲ τοῦ Θεοδοσίου
of-the city called harbor put-in the but — of-Theodosius
στόλος ἀδείας ἐπιλαβόμενος διαπορθμεύεται πρὸς τὰ
fleet license having-taken crosses to the
Θρᾳκῷα καὶ τούτων ἐκράτησεν. ἐπὶ προδοσίᾳ δέ τινας
Thracian-parts and these mastered for treachery and some
ὑποφθείραντες διὰ τῆς πύλης τῆς καλουμένης Βλαχερνῶν
having-corrupted through the gate the called of-Blachernae
τὴν πόλιν εἷλον, καὶ νυκτὸς ἐπιγενομένης εἰς τοὺς οἴκους τῶν
the city took and night having-come-on into the houses of-the
πολιτῶν εἰσδραμόντες μεγίστην αὐτοῖς βλάβην εἰργάζοντο.
citizens having-run-in very-great to-them harm made
τοὺς δὲ ἐν αὐτῇ ἄρχοντας ἅμα Γερμανῷ τῷ τηνικαῦτα
the and in it officials together-with Germanus the at-that-time
ἱεράρχῃ τῆς πόλεως ἀποστέλλει ὡς τὰ πεπραγμένα
hierarch of-the city he-sends as the-things done
αὐτῷ πιστωσόμενος Ἀναστασίῳ. ὁ δὲ τούτους ἤδη λόγον
by-him going-to-assure Anastasius he but from-these already a-word
ᾔτησεν ὡς μή τι κακὸν πάθῃ, καὶ τὸ μοναχικὸν
asked that not anything evil he-should-suffer and the monastic
περιβαλόμενος σχῆμα πρὸς Θεοδόσιον ᾤχετο· ὁ δὲ ἕτερον
having-put-on habit to Theodosius went he but other-thing
μηδὲν βλάψας κατὰ τὴν Θεσσαλονίκην ἐξόριστον ἔπεμψεν.
nothing having-harmed to — Thessalonica into-exile sent

Ἐπεὶ οὖν πυκναὶ τῶν βασιλέων ἐπαναστάσεις ἐγένοντο καὶ
since then frequent of-the emperors uprisings happened and
ἡ τυραννὶς ἐκράτει τά τε τῆς βασιλείας καὶ τῆς πόλεως
the tyranny prevailed the both of-the kingship and of-the city
κατημελεῖτο καὶ διέπιπτε πράγματα, ἔτι μὴν καὶ ἡ
were-neglected and fell-apart affairs further indeed also the
τῶν λόγων ἠφανίζετο παίδευσις καὶ τὰ τακτικὰ διελύετο.
of-the letters vanished education and the tactical-arts were-dissolved
ἐξ ὧν συνέβαινε καὶ τοὺς πολεμίους τῆς τῶν Ῥωμαίων
from which it-happened also the enemies the of-the Romans
κατατρέχειν ἀδεῶς πολιτείας, φόνοι τε πολλοὶ καὶ
to-overrun fearlessly state slaughters both many and
ἀπαγωγαὶ καὶ πόλεων ἁλώσεις. ἐντεῦθεν καὶ οἱ Σαρακηνοὶ
abductions and of-cities captures thence also the Saracens
ὁρμῶσι κατ᾽ αὐτῆς τῆς βασιλευούσης, διὰ τῆς ἠπείρου
rush against the-very the reigning-city through the mainland
στέλλοντες ἐκ διαφόρων ἐθνῶν τῶν ὑπὸ χεῖρα ἱππικά τε
sending from various nations those under hand cavalry both
καὶ πεζικὰ στρατεύματα ἀριθμοῦ κρείττονα. ὡσαύτως καὶ
and infantry forces than-number greater likewise also
στόλον πολὺν ἀπέστειλαν ἄχρι καὶ εἰς χιλίας ὀκτακοσίας
a-fleet great they-sent up-to even to thousand eight-hundred
ναῦς, ἡγεμόνα τούτοις τινὰ καταστήσαντες Μασαλμᾶν
ships as-leader over-them a having-appointed Maslama
τῇ σφῶν διαλέκτῳ καλούμενον. ταῦτα μαθόντες οἵ τε
in-the their language called these-things having-learned both the
στρατιωτικοὶ καὶ πολιτικοὶ ἄρχοντες καὶ τὴν τοῦ Θεοδοσίου
military and civil officials and the — of-Theodosius
ἀπειρίαν, καὶ ὡς οὐχ ἱκανῶς ἔχει τὰ πρὸς τοὺς
inexperience and that not sufficiently he-is the-things toward the
πολεμίους ἀντικαθίστασθαι, ἐφίστανται αὐτῷ παραινοῦντες
enemies to-oppose stand-by him exhorting

τὴν βασιλείαν παραιτήσασθαι καὶ ἀβλαβῶς ἰδιωτεῦσαι. καὶ
the kingship to-resign and harmlessly to-live-privately and
αὐτὸς ὑπεχώρει, ἐνιαυτὸν ἕνα ἐν τῇ βασιλείᾳ διαρκέσας.
he withdrew year one in the kingship having-lasted
εἶτα εἰς ψῆφον ἐληλυθότων τοῦ βασιλεύσοντος ᾑρέθη
then to the-vote having-come of-the going-to-reign was-chosen
Λέων ὁ πατρίκιος, τηνικαῦτα στρατηγὸς ὢν τοῦ τῶν
Leo the patrician at-that-time general being of-the of-the
ἀνατολικῶν λεγομένου στρατοῦ. καὶ ὡς ἦν ἔθος βασιλεῦσι,
Anatolics called army and as was custom for-emperors
διὰ προπομπίου δοχῆς διὰ τῆς Χρυσῆς καλουμένης πύλης
through processional reception through the Golden called gate
εἰς τὸ Βυζάντιον εἰσελαύνει, καὶ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ
into — Byzantium he-rides-in and in the great church
γενόμενος ἐκεῖσε τὸν τῆς βασιλείας ἀνεδήσατο στέφανον.
having-come there the of-the kingship bound-on crown
Ὁ δὲ τῶν Σαρακηνῶν λαὸς πλεῖστα τῶν Ῥωμαίων καθελὼν
the and of-the Saracens people very-many of-the Romans having-taken
πολίσματα καταλαμβάνει τὴν Πέργαμον καλουμένην πόλιν,
towns seizes the Pergamum called city
καὶ ἤδη τῆς πρὸς αὐτὴν πολιορκίας εἶχοντο. καὶ ταύτην
and already to-the against it siege held and it
αἱροῦσιν ἐξ αἰτίας τοιᾶσδε. ἔκ τινος δαιμονικῆς ἐπινοίας
they-take from cause such-as-this from some demonic contrivance
οἱ τῆς πόλεως ἔνδον πρωτοτόκον κόρην λαβόντες
those of-the city within bearing-her-first girl having-taken
ἐγκυμονοῦσαν καὶ ἤδη πρὸς τὸ τεκεῖν ἐγγίζουσαν, καὶ
pregnant and already to the to-bear drawing-near and
ταύτην τε ἀνέτεμον καὶ τὸ ἐν αὐτῇ βρέφος ἄραντες ἐπὶ
her both cut-open and the in her babe having-lifted over
λέβητος ὕδατι ἕψουσιν, ἐφ᾽ οὗ οἱ πρὸς τὸ πολεμεῖν τοῖς
a-cauldron in-water boil over which those for the to-fight the

ἐχθροῖς παρασκευαζόμενοι τὰς χειρίδας τῶν δεξιῶν χειρῶν
enemies preparing the sleeves of-the right hands
κατεβάπτισαν. ἐκεῖθέν τε τὰ ἐξ ὀργῆς τοῦ θεοῦ
dipped thence and the-things from wrath — of-God
κατελάμβανεν· αἱ γὰρ χεῖρες αὐτῶν ἐφάπτεσθαι ὅπλου
overtook-them the for hands their to-take-hold-of a-weapon
διείργοντο, καὶ ἀπρακτούντων οἱ πολέμιοι τὴν πόλιν εἷλον
were-prevented and they-being-idle the enemies the city took
ἀμαχητί. ἐκεῖθεν ἄραντες οἱ Σαρακηνοὶ πρὸς τῷ στενῷ
without-a-fight thence having-set-out the Saracens at the strait
τῆς Ἀβύδου καταλαμβάνουσι καὶ εἰς τὰ ἐπὶ Θράκης
— of-Abydos arrive and to the-parts on Thrace
ἀντιπεραιοῦνται. καὶ πλεῖστα ταύτης ἑλόντες πολίσματα ἐπὶ
cross-over and very-many of-it having-taken towns to
τὴν βασιλεύουσαν ἀφίκοντο καὶ χάρακα ταύτῃ περιβάλλουσι
the reigning-city came and a-palisade around-it put
καὶ τῆς πολιορκίας εἴχοντο, τρισκαιδεκαμηνιαῖον χρόνον ἐν
and to-the siege held thirteen-month time in
τῇ προσεδρίᾳ διανύσαντες, ἰδέας μηχανημάτων ὡς πλείστας
the siege having-completed forms of-engines as very-many
προσενεγκόντες. ἐν τούτῳ καταλαμβάνει καὶ ὁ τῶν
having-brought-up in this arrives also the of-the
Σαρακηνῶν στόλος, οὗ ἡγεῖτο Σολιμὰν ὀνόματι Ἀράβων
Saracens fleet which led Sulayman by-name in-the-Arabs'
φωνῇ καλούμενος. ἐν ᾧ δὲ τῶν ὑπὸ τὸ Βυζάντιον πόρων
tongue called in which and of-the under — Byzantium straits
ἀνήγοντο, αἱ κατόπιν ἰοῦσαι ναῦς, οἱάπερ νωτοφυλακοῦσαι
they-put-to-sea the behind going ships as-if guarding-the-rear
καὶ φόρτῳ πολλῷ βεβαρημέναι ἔκ τε στρατιωτῶν πλήθους
and with-a-load great weighed-down from both of-soldiers a-multitude
καὶ ὅπλων, καὶ ἅμα μικροῦ πνεύματος ἀντιπνεύσαντος καὶ
and of-arms and at-once a-slight wind having-blown-against and

τοῦ ῥείθρου εἰς τοὐπίσω ἄγεσθαι βιαζομένου, σχολαιότερον
the current to the-back to-be-carried forcing more-slowly
ὑπέπλεον. ταύτας ὁ βασιλεὺς θεασάμενος διήρεσιν
sailed-up these the emperor having-beheld biremes
ἐπιβὰς καὶ διέκπλους ποιησάμενος πυρὶ κατέφλεξεν,
having-boarded and breakthroughs having-made with-fire burned
οὔσας τὸν ἀριθμὸν εἴκοσι. ὁ δὲ λοιπὸς ἅπας στόλος τῷ
being the number twenty the and remaining whole fleet to-the
Θρᾳκικῷ προσπλεύσας Βοσπόρῳ τῷ λιμένι τῷ καλουμένῳ
Thracian having-sailed-to Bosporus at-the harbor the called
Σωσθενίῳ προσορμίζεται καὶ αὐτοῦ διεχείμαζεν. ἐν ᾧ
Sosthenion anchors and there wintered in which
συμβέβηκε χειμῶνα μέγιστον γενέσθαι, ὥστε μηδαμῶς
it-happened a-winter very-great to-happen so-that in-no-way
γῆν ὀφθῆναι ἐκ πληθύος τῆς κατενεχθείσης χιόνος
the-ground to-be-seen from the-multitude of-the fallen snow
ἄχρις εἰς τὰς ἑκατὸν ἡμέρας· ἐξ οὗ πλῆθος οὐκ ὀλίγον
up-to to the hundred days from which a-multitude not small
ἀνδρῶν τε καὶ ἵππων καὶ καμήλων καὶ λοιπῶν ζῴων
of-men both and of-horses and of-camels and of-other animals
ἀπέβαλον. ἔαρος δὲ ἐπιγενομένου ἐπικαταλαμβάνει καὶ
they-lost spring and having-come-on arrives also
ἕτερος τῶν Σαρακηνῶν στόλος πλεῖστος ἐξ Αἰγύπτου, οὗ
another of-the Saracens fleet very-large from Egypt which
ἡγεῖτο Σοφιὰμ ὄνομα ἄρχων, φόρτον ἄγων ἐν ταυτῷ σίτου
led Sophiam by-name commander a-load bringing in the-same of-grain
τε πλείστου καὶ ὅπλων. ὀλίγου δὲ διελθόντος χρόνου καὶ
both very-much and of-arms little and having-passed time also
ἕτερος ἐφίσταται στόλος ἐκ τῶν περὶ Ἀφρικὴν ἀναχθείς,
another arrives fleet from the about Africa having-put-to-sea
ὅπλων τε πολλῶν καὶ δαπανημάτων καταγέμων, οὗ
with-arms both many and supplies laden whose

ὑπῆρχεν ἡγεμὼν Ἰέζιδος Σαρακηνῶν ὄνομα. οὗτοι, ὥς
was leader Yazid of-the-Saracens by-name these as
φασι, τὴν ἐκ τοῦ ἐσκευασμένου παρὰ Ῥωμαίοις πυρὸς
they-say the from the prepared by the-Romans fire
ὑφορώμενοι βλάβην, τὸν οὖν Βυζάντιον πόρον ἀπογνόντες
suspecting harm the then Byzantine strait having-given-up
τοῖς πρὸς Βιθυνίαν μέρεσι προσέσχον, ὁ μὲν πρὸς
at-the toward Bithynia parts put-in the-one indeed at
τὸν καλούμενον λιμένα Καλοῦ ἀγροῦ, ὁ δὲ πρὸς ταῖς
the called harbor of-Kalos Agros the-other and at the
ἀκταῖς τοῦ λεγομένου Σατύρου. οἱ δὲ ἐν αὐτοῖς εἰσπλέοντες
shores of-the called Satyrus the but in them sailing
Αἰγύπτιοι νυκτὸς τοὺς ἐνεστηκότας λέμβους τῶν νηῶν
Egyptians by-night the lying-there boats of-the ships
εἰσβάντες πρὸς τὸ Βυζάντιον ἦκον καὶ τὸν βασιλέα
having-boarded to — Byzantium came and the emperor
εὐφήμουν. ἐφ᾽ οἷς ἀναθαρσήσας ὁ βασιλεὺς πυρφόρους
acclaimed at which having-taken-courage the emperor fire-bearing
ναῦς κατὰ τῶν τοιούτων στόλων ἐξέπεμψε καὶ πάσας
ships against the such fleets sent-out and all
αὐτῶν τὰς ναῦς ἐνέπρησεν. ἐκεῖθεν λαφυραγωγήσαντες
their the ships burned thence having-taken-spoil
καὶ ἐκ τῶν ὑπαρχόντων αὐτοῖς ὅπλων καὶ δαπανημάτων
and with the belonging to-them arms and supplies
καταφορτισθέντες πρὸς βασιλέα ὑπέστρεφον.
laden to the-emperor returned
Τούτῳ τῷ χρόνῳ Σέργιος ὁ πατρίκιος ὁ τῆς Σικελίας
at-this the time Sergius the patrician the — of-Sicily
στρατηγὸς καὶ οἱ τὰ ἑσπέρια οἰκοῦντες, τὰ περὶ τὸ
general and those the western-parts dwelling the-things about —
Βυζάντιον καὶ τὸν βασιλέα αὐτὸν ἀπογνόντες τῆς
Byzantium and the emperor himself having-despaired-of because-of-the

γενομένης τῶν πολεμίων χάριν κατ᾽ αὐτῶν ἐφόδου,
having-happened of-the enemies for-the-sake against them attack
ἴδιον στέφουσι βασιλέα τῶν ὑπηρετῶν τινα Σεργίου,
own crown an-emperor of-the servants one of-Sergius
Βασίλειον τοὔνομα, υἱὸν γεγονότα Γρηγορίου τὸ ἐπίκλην
Basil by-name son having-been of-Gregory the surname
Ὀνομαγούλου, Τιβέριον αὐτὸν ὀνομάσαντες. τοῦτο ἀκηκοὼς
Onomagoulos Tiberius him having-named this having-heard
ὁ βασιλεὺς Παῦλον τὸν πατρίκιον στρατηγὸν Σικελίας
the emperor Paul the patrician general of-Sicily
προβάλλεται ἅτε πιστὸν καὶ οἰκεῖον ὑπάρχοντα καὶ
puts-forward as trustworthy and intimate being and
τακτικῶν ἔμπειρον, καὶ πρὸς Σικελίαν ἐκπέμπει. οὗ
of-tactics experienced and to Sicily sends-out of-whom
τινος ἐκεῖσε καταλαβόντος Σέργιος φυγὰς ἐκεῖθεν οἴχεται
one there having-arrived Sergius as-fugitive thence goes
καὶ πρὸς Λογγουβάρδους γίνεται, Παῦλος δὲ ἐν τῇ νήσῳ
and to the-Lombards comes Paul and in the island
λαὸν περιαθροίσας τὰ βασιλέως ὑπαναγινώσκει γράμματα,
people having-gathered the of-the-emperor reads-out letters
δι᾽ ὧν εἰς πίστωσιν ἐλθόντες τόν τε βασιλέα εὐφήμησαν
through which into assurance having-come the both emperor acclaimed
καὶ Βασίλειον καὶ τοὺς ὑπ᾽ αὐτοῦ προχειρισθέντας ἄρχοντας
and Basil and the by him appointed officials
δεσμίους αὐτῷ παραδεδώκασιν. ὁ δὲ τούτους παραλαβὼν
in-bonds to-him have-handed-over he and these having-taken-over
Γεώργιόν τινα καὶ ἑτέρους ἀνεῖλε καὶ τούτων τὰς κεφαλὰς
George a and others killed and of-these the heads
πρὸς τὸν βασιλέα ἀνέπεμψε, τοὺς δὲ ἄλλους σὺν πληγαῖς
to the emperor sent-up the and others with blows
καὶ αἰκίαις πολλαῖς, ὧν δὲ καὶ τὰς ῥῖνας ἐκτεμών,
and tortures many of-whom and also the noses having-cut-off

ὑπερορίαις παρέπεμψε. Σέργιος δὲ τῆς ἑαυτοῦ σωτηρίας
to-exile sent-off Sergius and of-the his-own safety
λόγον αἰτήσας πρὸς τὸν Παῦλον ἐκομίσθη. ἐντεῦθεν τὰ
a-word having-asked to — Paul was-brought thence the
τῆς ἑσπέρας πράγματα ἐν εἰρήνῃ καὶ ἡσυχίᾳ κατέστη.
of-the west affairs in peace and quiet were-established
Μετὰ τοῦτο τίκτεται υἱὸς τῷ βασιλεῖ, ὃν ἐπωνόμασε
after this is-born a-son to-the emperor whom he-named
Κωνσταντῖνον. πεντεκαιδεκάτῃ δὲ τοῦ ἐπεισιόντος μηνὸς
Constantine on-the-fifteenth and of-the coming month
Αὐγούστου πάντα τά τε ἱππικὰ καὶ πλοῖμα τῶν
August all the both cavalry and naval of-the
Σαρακηνῶν ἐκστρατεύματα τῆς βασιλευούσης ἀπεχώρουν,
Saracens forces from-the reigning-city withdrew
πλείστας ναῦς ἀποβαλόντες ὑπό τε ζάλης καὶ ἀνέμων
very-many ships having-lost by both storm and winds
ἀγρίων καταληφθείσας, καὶ πολλῶν μὲν εἰς τὰς νήσους
savage overtaken and many indeed to the islands
ἄχρι καὶ εἰς τὴν Κύπρον σκεδασθεισῶν, ἑτέρων δὲ
as-far-as even to — Cyprus scattered others and
καὶ αὐτάνδρων τῷ βυθῷ παραδοθεισῶν. Ἀρτέμιος δὲ ἐν
also with-their-crews to-the deep delivered Artemius and in
Θεσσαλονίκῃ ἐξόριστος ὢν πάλιν πειρᾶται τῆς βασιλείας
Thessalonica in-exile being again tries the kingship
ἐπικρατήσειν, καὶ ἐπεχείρει τοιάδε πράττειν. γράφει πρὸς
to-take-hold-of and attempted such-things to-do writes to
Σισίννιον πατρίκιον τὸ ἐπίκλην Ῥενδάκιον, πρὸς τῇ τῶν
Sisinnius patrician the surname Rendakios at the of-the
Βουλγάρων διατρίβοντα χώρᾳ παρὰ βασιλέως τηνικαῦτα
Bulgars spending-time country by the-emperor at-that-time
ἀποσταλέντα ὡς ἂν συμμαχίαν παρ᾽ αὐτῶν κατὰ τῶν
sent that — alliance from them against the

Σαρακηνῶν λήψοιτο, ὅπως αὐτῷ τοῖς κατὰ γνώμην
Saracens he-might-get that with-him in-the-things according-to his-mind
συμπράξειεν, ἀναπείσῃ δὲ καὶ Βουλγάρους συνεργήσειν
he-might-work-together might-persuade and also the-Bulgars to-work-with
αὐτῷ. ὁ δὲ τοῦτο ὑπέσχετο. γράφει δὲ καὶ πρὸς Νικήταν
him he and this promised writes and also to Nicetas
τὸν μάγιστρον τὸ ἐπίκλην Ξυλινίτην, ἐν Κωνσταντινουπόλει
the magister the surname Xylinites in Constantinople
ὑπάρχοντα, ἔτι δὲ καὶ πρὸς Ἰσώην πατρίκιον καὶ τοῦ
being further and also to Isoes patrician and of-the
λεγομένου βασιλικοῦ Ὀψικίου ἡγεμόνα, καὶ Θεόκτιστον τὸν
called imperial Opsikion leader and Theoktistos the
πρώτιστον τῶν βασιλικῶν γραμματέων καθ' οὓς ἐβασίλευε
very-first of-the imperial secretaries in which he-reigned
χρόνους γενόμενον, καὶ Νικήταν ἐπίκλην Ἄνθρακα ἄρχοντα
times having-been and Nicetas surname Anthrax commander
τειχῶν, παλαιᾶς φιλίας ἀναμιμνήσκεσθαι, καὶ ἑτοίμους
of-the-walls the-old friendship to-remember and ready
εἶναι συντρέχειν αὐτῷ καὶ τὴν πόλιν ἀνοιγνύναι καὶ
to-be to-run-together with-him and the city to-open and
ὡς βασιλέα ὑποδέχεσθαι. τὰ γραφέντα οὖν εὐθὺς τῷ
as emperor to-receive the-things written then at-once to-the
βασιλεῖ διαγινώσκεται, καὶ τοὺς τὰ γράμματα δεξαμένους
emperor become-known and those the letters having-received
χειροῦται καὶ πληγαῖς αἰκίζεται, καὶ αὐτοὶ ὁμολογοῦσι. καὶ
he-subdues and with-blows tortures and they confess and
Νικήτα μὲν τοῦ τὴν ἀξίαν μαγίστρου καὶ Θεοκτίστου τὰς
of-Nicetas indeed the — in-rank magister and of-Theoktistos the
κεφαλὰς ἐξέτεμε, τοὺς δ' ἄλλους οὐ μικρῶς αἰκισάμενος
heads he-cut-off the but others not slightly having-tortured
καὶ δημεύσας ἐξορίαις ἀπέπεμψεν. Ἀρτέμιος δὲ ἅμα
and having-confiscated to-exiles sent-away Artemius and together-with

Σισιννίῳ τῷ πατρικίῳ καὶ τοῖς Βουλγάροις μέχρις Ἡρακλείας
Sisinnius the patrician and the Bulgars as-far-as Heraclea
καταλαμβάνει, σὺν αὐτοῖς δὲ καὶ ἅπερ ἦγον ἐκ
arrives with them and also the-things-which they-brought from
Θεσσαλονίκης ἀκάτια· μονόξυλα δὲ αὐτοὶ προσαγορεύουσι.
Thessalonica boats single-trunked and they call
γράφει δὲ Βουλγάροις ὁ βασιλεὺς ὡς τὴν εἰρήνην
writes and to-the-Bulgars the emperor that the peace
μᾶλλον ἀσπάσοιντο καὶ τοὺς ἐχθροὺς προδοῖεν. οἱ δὲ εἰς
rather they-should-embrace and the enemies betray they and into
ἀπολογίαν κατέστησαν συγγνώμην αἰτήσαντες καὶ τὰ
defense were-brought pardon having-asked and the-things
πρὸς εἰρήνην ὑπισχνούμενοι. καὶ τὸν μὲν Ἀρτέμιον σὺν
toward peace promising and — indeed Artemius with
τῷ ἀρχιερεῖ Θεσσαλονίκης καὶ ἄλλους πλείστους δεσμώτας
the high-priest of-Thessalonica and others very-many as-prisoners
πρὸς βασιλέα πέμπουσι, καὶ Σισιννίου τοῦ πατρικίου τὴν
to the-emperor send and of-Sisinnius the patrician the
κεφαλὴν ἐκτεμόντες ὡσαύτως στέλλουσιν οὕτω τε πρὸς
head having-cut-off likewise send thus and to
τὴν ἑαυτῶν ἀπεχώρουν. Ἀρτέμιον δὲ σὺν τῷ ἀρχιεπισκόπῳ
the their-own withdrew Artemius and with the archbishop
παραλαβὼν ἐν τῷ λεγομένῳ κυνηγίῳ ἀπέτεμεν. ἱππικὴν
having-taken-over in the called Kynegion beheaded horse
δὲ ἅμιλλαν ἐπιτελέσας τῶν ἀποτμηθέντων τὰς κεφαλὰς
and race having-held of-the beheaded the heads
διὰ τοῦ ἱπποδρομίου ἐπὶ κοντοῦ ἀνηρτημένας ἐξεπόμπευε.
through the hippodrome on a-pole hung paraded
τοὺς δὲ ἄλλους πάντας αἰκισάμενος καὶ τὰς ῥῖνας αὐτῶν
the and others all having-tortured and the noses their
ἐκτεμὼν καὶ δημεύσας ὑπερορίαις κατεδίκασε.
having-cut-off and having-confiscated to-exiles condemned

Leo crowned his son Constantine. An island rose from the sea near Thera, which Leo took as a sign of divine wrath, and he began his war on the holy images; the people of Hellas and the Cyclades rebelled under a Cosmas and were defeated. The patriarch Germanus refused to sign and resigned, Anastasius replaced him, and many of the pious were punished. An earthquake shook the city. Leo died of dropsy, and Artabasdos seized the city and restored the images, but Constantine V defeated him and his sons and blinded them. A plague emptied Byzantium, which Constantine resettled; a council of 338 priests condemned the images, and Constantine beat the Bulgars until they sued for peace.

Ταῦτα οὖν καταπραξάμενος προσκαλεῖται Γερμανὸν τὸν
these-things then having-accomplished summons Germanus the
τηνικαῦτα ἀρχιερέα πέμπτῃ καὶ εἰκάδι τοῦ Μαρτίου
at-that-time high-priest on-the-fifth and twentieth of-the March
μηνὸς τῆς τρίτης ἰνδικτιόνος, τῇ σωτηρίῳ τοῦ Χριστοῦ
month of-the third indiction on-the saving — of-Christ
ἀναστάσει, ἐν τῷ Τριβουναλίῳ λεγομένῳ δεκαεννέα
resurrection in the Tribunal called of-nineteen
ἀκουβίτων, στέφει τὸν υἱὸν Κωνσταντῖνον εἰς βασιλέα.
couches crowns the son Constantine as emperor
Οἷον δὲ κατὰ τοὺς χρόνους ἐκείνους περὶ τὰς νήσους
what-sort and in the times those about the islands
τῆς τε Θήρας καὶ Θηρασίας καλουμένας συμβέβηκεν,
— both of-Thera and Therasia called has-happened
αἳ πρὸς τῷ Κρητικῷ πελάγει κεῖνται, παραδραμεῖν οὐκ
which in the Cretan sea lie to-pass-over not
ἄξιον. θέρους ὥρας ἐνεστηκυίας συνηνέχθη τὸν θαλάττιον
worthy of-summer the-season being-present it-came-about the sea
βυθὸν πλεῖστον ὅτι καπνώδη ἀτμὸν ἐξερεύγεσθαι, ἐξ
depth as-much as-possible smoky vapor to-belch-forth from

οὗ ἐπὶ πολὺ πυκνουμένου τοῦ ἀέρας πῦρ ἐξαφθῆναι, καὶ
which over much being-condensed the air fire to-be-kindled and
μετὰ τὸ πῦρ λίθους κισσιρώδεις διεκβρασθῆναι εἰς πλῆθος
after the fire stones pumice-like to-be-thrown-up to a-multitude
μέγιστον, ὥστε εἰς εἶδος νήσου τοὺς λίθους συστῆναι,
very-great so-that into a-form of-an-island the stones to-come-together
ἑνωθῆναί τε τὴν γῆν τῇ Ἱερᾷ καλουμένῃ νήσῳ, ἣν
to-be-united and the land with-the Holy called island which
δὴ καὶ αὐτήν φασι τῷ ὁμοίῳ τρόπῳ τοῦ βυθίου
indeed also itself they-say in-the like manner from-the deep
ἀναδοθῆναι χώρου, καθάπερ καὶ τὰς ῥηθείσας λόγος
to-have-been-sent-up place as also the mentioned account
Θήραν καὶ Θηρασίαν νήσους. τῷ ἀπείρῳ δὲ πλήθει τῶν
Thera and Therasia islands by-the boundless and multitude of-the
ἀναδιδομένων λίθων ἀνὰ πᾶσαν κατεστορέσθαι τὴν ἐκείνῃ
sent-up stones over all to-have-been-strewn the there
θάλασσαν, ἐνθένδε τε ἀφικέσθαι ἄχρις Ἀβύδου καὶ τῆς
sea thence and to-have-reached as-far-as Abydos and the
Ἀσιάτιδος παραθαλασσίου. ὑπεκκαίεσθαι δὲ τὸ προσπελάζον
Asian seashore to-be-heated-under and the approaching
ῥεῖθρον ὡς μηδὲ θιγγάνειν αὐτοῦ τινὰ ἱκανῶς ἔχειν.
current so-that not-even to-touch it anyone sufficiently to-be-able
Ταῦτά φασιν ἀκούσαντα τὸν βασιλέα ὑπολαμβάνειν θείας
these-things they-say having-heard the emperor to-suppose of-divine
ὀργῆς εἶναι μηνύματα, καὶ ἥτις αἰτία ταῦτα κεκίνηκε
wrath to-be tokens and what cause these-things has-moved
διασκέπτεσθαι. ἐντεῦθεν λοιπὸν κατὰ τῆς εὐσεβείας ἵσταται
to-consider thence henceforth against the piety he-stands
καὶ τῶν ἱερῶν εἰκονισμάτων μελετᾷ τὴν καθαίρεσιν ὡς
and of-the holy images plans the pulling-down as
ἐκ τῆς τούτων ἱδρύσεώς τε καὶ προσκυνήσεως γεγονέναι
from the of-these setting-up both and veneration to-have-happened

οἰόμενος τὸ τεράστιον, κακῶς εἰδώς. ἐκδιδάσκειν δὲ τὸν
supposing the portent ill knowing to-teach and the
λαὸν τὸ οἰκεῖον ἐπεχείρει δόγμα. πολλοὶ γοῦν τὴν ὕβριν
people the own he-tried doctrine many at-any-rate the outrage
τῆς ἐκκλησίας ἀπωλοφύροντο. διὸ δὴ καὶ οἱ τὴν
of-the church lamented wherefore indeed also those —
Ἑλλάδα καὶ τὰς Κυκλάδας νήσους οἰκοῦντες οὐ προσιέμενοι
Hellas and the Cyclades islands dwelling not admitting
τὸ δυσσέβημα πρὸς τὸν βασιλέα διαστασιάζουσι, καὶ
the impiety against the emperor revolt and
πλεῖστον στόλον ἀθροίσαντες Κοσμᾶν τοὔνομα ἐφ' ἑαυτοῖς
very-great a-fleet having-gathered Cosmas by-name over themselves
βασιλεύουσι. καὶ πρὸς τὴν βασιλεύουσαν ἦκον· οἷς
make-emperor and to the reigning-city came with-whom
συμμίσγουσι πολέμῳ οἱ τῆς πόλεως καὶ πολλὰς τῶν
engage in-war those of-the city and many of-the
περὶ αὐτὸν νηῶν ἐνέπρησαν. οἱ δὲ τὴν ἧτταν θεασάμενοι
about him ships burned they and the defeat having-beheld
τῷ βασιλεῖ προσφεύγουσι. τῶν δὲ περὶ αὐτὸν ἀρχόντων
to-the emperor flee-for-refuge of-the and about him officers
τις Ἀγαλλιανὸς ὄνομα, ταῦτα θεασάμενος καὶ τῆς
one Agallianus by-name these-things having-beheld and of-the
σωτηρίας ἑαυτοῦ ἀπογνούς, σὺν τῇ πανοπλίᾳ ἑαυτὸν τῷ
safety his-own having-despaired with the full-armor himself to-the
βυθῷ παραδέδωκε. Κοσμᾶς δὲ καὶ ἕτερός τις Στέφανος
deep has-delivered Cosmas then and other a Stephen
συλληφθέντες τὰς κεφαλὰς ἀπετμήθησαν.
having-been-seized the heads were-cut-off
Τῷ δὲ ἐπιγενομένῳ θέρει πάλιν ἱππικὰ στρατεύματα τῶν
in-the and following summer again cavalry forces of-the
Σαρακηνῶν πλεῖστα τῆς Ῥωμαίων ἀρχῆς κατέθεον, ὧν
Saracens very-many the of-the-Romans rule overran of-whom

ἡγοῦντο Ἄμερος καὶ Μαυίας ὀνομαζόμενοι Σαρακηνοί· καὶ
led Amer and Mauias named Saracens and
καταλαμβάνουσι πρὸς τὴν προκαθεζομένην τῆς Βιθυνίας
they-arrive at the presiding-over — of-Bithynia
πόλιν Νίκαιαν καλουμένην· ἐπί τινα χρόνον τῆς πολιορκίας
city Nicaea called for some time to-the siege
ἐχόμενοι τέλος ἄπρακτοι ἀπεπέμποντο.
holding at-last unsuccessful were-sent-off
Μετὰ δὴ ταῦτα ὁ βασιλεὺς ἀθροίζει πλεῖστον λαὸν
after indeed these-things the emperor gathers very-much people
τῆς πόλεως περὶ τὰ βασίλεια, καὶ συγκαλεῖ τὸν τότε
of-the city about the palace and summons the then
τῆς πόλεως ἀρχιερέα Γερμανόν, καὶ συγγράφειν κατὰ
of-the city high-priest Germanus and to-write concerning
τῆς καθαιρέσεως τῶν εἰκόνων τῶν ἁγίων ἠνάγκαζεν.
the pulling-down of-the images of-the holy compelled
ὁ δὲ παρῃτεῖτο καὶ τὴν ἱερωσύνην ἀπέβαλεν, λέγων
he but declined and the priesthood cast-off saying
ὡς "ἄνευ οἰκουμενικῆς συνόδου ἔγγραφον πίστιν οὐκ
that without ecumenical council written faith not
ἐκτίθεμαι". ἐκεῖθεν ἐπὶ τὸν πατρικὸν οἶκον γενόμενος
I-set-forth thence to the paternal house having-gone
αὐτοῦ τὸν τῆς ζωῆς βιοτεύων διετέλεσε χρόνον. μετ' αὐτὸν
there the of-the life living completed time after him
δὲ προχειρίζονται ἀρχιερέα Ἀναστάσιον κληρικὸν τῆς
and appoint as-high-priest Anastasius a-cleric of-the
μεγάλης ἐκκλησίας τυγχάνοντα. ἐξ ἐκείνου τοίνυν πολλοὶ
great church being from that therefore many
τῶν εὐσεβούντων, ὅσοι τῷ βασιλείῳ οὐ συνετίθεντο
of-the pious as-many-as to-the imperial not agreed
δόγματι, τιμωρίας πλείστας καὶ αἰκισμοὺς ὑπέμενον.
doctrine punishments very-many and tortures endured

Ἐν ᾧ δὲ οὕτω ταῦτα ἐπράττετο, ἐκπέμπει ὁ βασιλεὺς
in which and thus these-things were-done sends-out the emperor
πρὸς τὸν τοῦ ἔθνους τῶν Χαζάρων ἡγούμενον, καὶ τὴν
to the of-the nation of-the Khazars leader and the
αὐτοῦ θυγατέρα μεταπέμπεται καὶ τῷ υἱῷ Κωνσταντίνῳ
his daughter sends-for and to-the son Constantine
εἰς γυναῖκα κατηγγύησε. χρόνου δὲ μεταξὺ παρελθόντος
as wife betrothed time and meanwhile having-passed
σεισμὸς ἐνσκήπτει κατὰ τὸ Βυζάντιον, μεθ' οὗ καὶ
an-earthquake strikes at — Byzantium with which also
πόλεσιν ἑτέραις καὶ χώραις ἰσχυρῶς ἐπιφύεται. καὶ ἤδη
on-cities other and lands mightily falls and already
ἄλλους τε πολλοὺς οἴκους καὶ ἱεροὺς ναοὺς καὶ στοὰς
others both many houses and holy temples and porticoes
ἀθρόον ἐπικαταβάλλει, ἐκ πρώτων βάθρων αὐτῶν ἔστιν
all-at-once throws-down from first foundations them there-are
οὓς τούτων ἀνατρέψας, καὶ τὸν θεῖον νεὼν ὃν τῆς ἁγίας
which of-these having-overturned and the divine temple which of-the holy
Εἰρήνης ἐπώνυμον καλοῦσι κατέσεισεν, ὃς πλησιαίτατα
Irene named they-call shook-down which nearest
τῆς μεγάλης ἐκκλησίας ἵδρυται. μεθ' ὃν καὶ ὁ Ἀρκαδίου
of-the great church is-founded after which also the of-Arcadius
τοῦ πάλαι Ῥωμαίων τὰ σκῆπτρα ἰθύνοντος ἀνδριάς, ὃς
the of-old of-the-Romans the scepters directing statue which
κατὰ τὸν λεγόμενον λόφον Ξηρόλοφον καθύπερθε τοῦ
on the called hill Xerolophos above the
γλυφαίου ἵδρυται κίονος, κατὰ γῆς ἄνωθεν ἔρριπτο.
carved is-founded column on the-ground from-above was-thrown
διέμεινε δὲ τὰ τοῦ σάλου ἄχρι καὶ εἰς ἐνιαυτὸν ὅλον·
remained and the-things of-the tremor up-to even to a-year whole

διὸ πλεῖστοι τῆς πόλεως προϊόντες καὶ ἔξω τειχῶν
wherefore very-many of-the city going-forth and outside the-walls
αὐλιζόμενοι ἐν καλύβαις κατέμενον.
encamping in huts remained
Λέων δὲ μετὰ τέσσαρα καὶ εἴκοσι ἔτη τῆς βασιλείας
Leo and after four and twenty years of-the kingship
μεταλλάττει τὸν βίον ὑδέρῳ χαλεπῷ περιπεσών, διάδοχον
changes the life into-dropsy grievous having-fallen as-successor
δὲ τῆς ἀρχῆς τὸν υἱὸν Κωνσταντῖνον καταλιμπάνει.
and of-the rule the son Constantine leaves
Ἀρτάβαζος δέ, ὃς γαμβρὸς Κωνσταντίνου ἐπ᾽ ἀδελφῇ
Artabasdos but who brother-in-law of-Constantine by sister
ὑπῆρχεν, ἅμα τῷ περιόντι λαῷ (στρατηγὸς δὲ τοῦ
was together-with the remaining people general for of-the
Ὀψικίου λαοῦ ἐτύγχανεν) καὶ τοῖς δυσὶν υἱέσιν, ὧν
Opsikion people he-happened-to-be and the two sons of-whom
ὁ μὲν ἕτερος Νικήτας θάτερος δὲ Νικηφόρος ἐκέκλητο,
the indeed one Nicetas the-other and Nicephorus had-been-called
κατὰ τὸ λεγόμενον τοῦ Δορυλαίου πεδίον ηὐλίζετο. καὶ
at the called — of-Dorylaeum plain encamped and
δὴ τυραννίδα εὐθὺς κατ᾽ αὐτοῦ μελετᾷ, τὸν τοῦ πενθεροῦ
indeed a-usurpation at-once against him he-plans the of-the father-in-law
θάνατον πυθόμενος· καὶ ὅρκοις τὸν ὑπὸ χεῖρα κατεδέσμει
death having-learned and by-oaths the under hand bound
λαὸν αὐτῷ μὲν εὔνουν ἔσεσθαι, ἕτερον δὲ εἰς βασιλέα
people to-him indeed well-disposed to-be another but as emperor
μὴ δέχεσθαι. Κωνσταντῖνος δὲ τῆς βασιλείας κρατήσας
not to-receive Constantine and the kingship having-taken-hold-of
ἀπόμοιράν τινα στρατοῦ ἐπιλεξάμενος τῆς πόλεως ἔξεισι
a-detachment a of-army having-picked-out from-the city goes-out
καὶ τὸ πεδίον ὃ Κρασὸς προσαγορεύεται καταλαμβάνει
and the plain which Krasos is-called seizes

καὶ Ἀρταβάζῳ ἐσήμαινεν ἥκειν πρὸς αὐτόν, ὡς ἂν ἅμα
and to-Artabasdos signaled to-come to him so-that — together
τῶν πολεμίων χάριν βουλεύσοιντο. ὁ δὲ ἤδη ὥρμα, οὐ
of-the enemies for-the-sake they-might-take-counsel he but already set-out not
βουλῆς ἕνεκεν, ἀλλὰ τῆς βασιλείας αὐτὸν καθαιρήσων.
of-counsel for-the-sake but from-the kingship him going-to-depose
Κωνσταντῖνος δὲ τὰ τῆς τυραννίδος πυθόμενος, καὶ
Constantine and the-things of-the usurpation having-learned and
Βίσηρον τὴν ἀξίαν πατρίκιον προϋπαντήσαντα καὶ τῷ
Beser — in-rank patrician having-gone-to-meet and by-the
ξίφει τῶν ἀντιπάλων πεσόντα αἰσθόμενος, καὶ ὡς τὸ
sword of-the opponents fallen having-perceived and that the
βασιλικὸν ἐσκευαγώγουν στρατόπεδον εἰσιδών, αὐτὸς πρὸς
imperial they-were-plundering camp having-seen he-himself to
τῇ χώρᾳ τῶν ἀνατολικῶν καλουμένῃ φυγὰς ἐνθένδε
the country of-the Anatolics called as-fugitive thence
ἀπιὼν τὴν σωτηρίαν τὴν ἑαυτοῦ περιεποιήσατο. καὶ
departing the safety the his-own secured and
αὐτοὶ εὐνοϊκῶς ὑποδεξάμενοι ἐνωμότους αὐτῷ συνθήκας
they kindly having-received sworn to-him compacts
δεδώκεσαν ὡς μέχρις αἵματος ὑπὲρ αὐτοῦ ἀνελέσθαι
had-given that up-to blood for him to-take-up
τὸν κίνδυνον, καὶ Ἀρτάβαζον αἰσχρῶς δυσφημοῦντες
the danger and Artabasdos shamefully reviling
καθύβριζον. μεταστέλλονται γοῦν καὶ Σισίννιον τὸν
insulted they-send-for at-any-rate also Sisinnius the
πατρίκιον καὶ σύμφωνα καθίστων ἅμα τῷ ὑπ᾽
patrician and agreeing made-him together-with the under
αὐτὸν στρατηγουμένῳ τῶν Θρᾳκησίων λεγομένῳ λαῷ, καὶ
him commanded of-the Thracesians called people and
ἅπαντες κατὰ Ἀρταβάζου ὠμῶς ἐχώρουν. Θεοφάνης δέ,
all against Artabasdos savagely went Theophanes and

ὃν Μονώτιον ἐκάλουν, τὴν τοῦ μαγίστρου ἀξίαν διέπων
whom Monotios they-called the of-the magister rank administering
καὶ τὴν βασιλέως χρείαν εἰς Βυζάντιον ἀποπληρῶν,
and the emperor's business in Byzantium fulfilling
Ἀρταβάζῳ προσέθετο καὶ βασιλέα ἀνεκήρυττε, καὶ
to-Artabasdos attached-himself and emperor proclaimed and
Βυζαντίους ἀνέπειθεν ὡς Κωνσταντῖνος τεθνήκει. τὸν
the-Byzantines persuaded that Constantine had-died the
δὲ υἱὸν Νικηφόρον τοὔνομα κατὰ τὴν Θρᾴκην τότε
and son Nicephorus by-name in — Thrace then
στρατηγοῦντα μεταπέμπεται καὶ σὺν τῷ περὶ αὐτὸν
commanding he-sends-for and with the about him
στρατῷ πρὸς φυλακὴν τῆς πόλεως ἐγκαθίστησι. τῶν
army for guard of-the city installs of-the
βασιλικῶν δὲ ὑπηρετῶν οὓς μὲν ἀπετύφλου οὓς δὲ καὶ
imperial and servants some indeed he-blinded others and also
ἑτέρως κατήκιζε. καὶ Ἀρτάβαζος εὐθὺς τῷ συνόντι
otherwise maltreated and Artabasdos at-once with-the being-with-him
ἅμα λαῷ τῇ πόλει ἐφίσταται καὶ αὐτίκα τῶν ἁγίων
together people to-the city comes and at-once of-the saints
ἀνίστη τὰ ἱερὰ ἀπεικονίσματα. τούτου δὲ κατόπιν ἰὼν
set-up the holy images him and behind going
Κωνσταντῖνος τὴν Χρυσόπολιν καλουμένην καταλαμβάνει·
Constantine the Chrysopolis called seizes
ἐπίνειον δὲ τοῦτο ἀντικρὺ Βυζαντίου πρὸς τῇ Ἀσιάτιδι γῇ
a-port and this opposite Byzantium on the Asian land
διακείμενον. κἀνταῦθα βραχὺν διατρίψας χρόνον ὑπενόστει
lying and-here a-short having-spent time he-withdrew
καὶ πρὸς τὴν πόλιν ἣν Ἀμόριον καλοῦσι διεχείμαζε. τῷ
and at the city which Amorion they-call wintered in-the
δὲ ἑξῆς ἐπιγενομένῳ ἐνιαυτῷ τὸν ἕτερον τῶν υἱῶν Νικήταν
and next following year the one of-the sons Nicetas

στρατηγὸν τοῦ καλουμένου τῶν Ἀρμενιάκων στρατοῦ
as-general of-the called of-the Armeniacs army
Ἀρτάβαζος ἀποστέλλει, τὸν δ' αὖ ἕτερον Νικηφόρον εἰς
Artabasdos sends the and in-turn other Nicephorus as
βασιλέα στέφει. ἐπιστρατεύει δὲ κατὰ τῆς τῶν Ἀσιανῶν
emperor crowns he-campaigns and against the of-the Asians
χώρας, καὶ τὰ ἐκείνῃ χωρία ἐσιαίνετο πικρῶς. καθ' ὃ
country and the there places ravaged bitterly at which
ἐπιτίθεται Κωνσταντῖνος καὶ πρὸς τὰς Σάρδεις ὑπαντιάζει,
attacks Constantine and at — Sardis meets-him
πολέμῳ τε αὐτῷ συμμίξας κραταιῶς ἐτροπώσατο, τόν
in-war and with-him having-engaged mightily routed the
τε ὑπόντα λαὸν δουλωσάμενος τήν τε ὑποῦσαν αὐτοῖς
both subject people having-enslaved the and belonging to-them
ἀποσκευὴν εἰσποιησάμενος. Ἀρτάβαζος δὲ φυγὰς πρὸς
baggage having-appropriated Artabasdos and as-fugitive to
τὴν πόλιν Κύζικον καταλαβὼν κἀκεῖθεν ἀποπλεύσας ἐπὶ
the city Cyzicus having-reached and-thence having-sailed-off to
τὸ Βυζάντιον ᾤχετο. Νικήτας δὲ ὁ αὐτοῦ υἱὸς κατὰ
— Byzantium went Nicetas and the his son against
Κωνσταντίνου τὴν ὁρμὴν ἐποιεῖτο. ὁ δὲ πρός τι χωρίον
Constantine the onset made he and at a place
αὐτῷ μάχῃ προσβαλών, Μωδρινὴν τῇ ἐπιχωρίῳ φωνῇ
him in-battle having-attacked Modrine in-the local tongue
προσαγορευόμενον, αὐτὸν μὲν Νικήταν ἐτρέψατο, τοῦ δὲ
called him indeed Nicetas routed of-the and
συνόντος λαοῦ πλείστους ἀναιρεῖ. ἐντεῦθεν ἐν μεγίσταις
being-with-him people very-many kills thence in greatest
συμφοραῖς τὰ Ῥωμαίων διέκειτο, ὁπηνίκα ἡ παρ'
misfortunes the-things of-the-Romans lay when the among
ἐκείνοις περὶ τῆς ἀρχῆς ἅμιλλα τὸν ἐμφύλιον Χριστιανοῖς
them about the rule rivalry the civil among-Christians

ἀνερρίπισε πόλεμον. οἷα γὰρ καὶ ὅσα συμβαίνειν
fanned war what-sort for and how-many to-happen
τοῖς τοιούτοις εἴωθε τὰ δεινότατα, ὡς καὶ τὴν φύσιν
in-the such-things are-wont the most-terrible-things so-that even the nature
ἑαυτὴν ἐπιλανθάνεσθαι καὶ καθ' ἑαυτῆς ἵστασθαι (καὶ
itself to-forget and against itself to-stand and
τί γὰρ δεῖ τἆλλα λέγειν;), πολλοὺς ἂν ἐν πείρᾳ
what for it-is-needful the-rest to-say many — in experience
καθεστηκέναι. ἐν τούτοις καθυπέρτερος Κωνσταντῖνος
to-have-stood in these-things superior Constantine
γενόμενος πρὸς τὰ Θρᾳκικὰ περαιοῦται χωρία καὶ τῷ τείχει
having-become to the Thracian crosses places and the wall
προσεδρεύει τῆς πόλεως διεκώλυέ τε τὴν τῶν ἀναγκαίων
besieges of-the city prevented and the of-the necessities
εἰσφοράν· καὶ ἐκ τούτου ἐν μεγάλῃ ἦν ἡ πόλις ἀνάγκῃ,
import and from this in great was the city necessity
ὥστε τοῦ μεγίστου λιμοῦ τοὺς Βυζαντίους κατατείνοντος
so-that the greatest famine the Byzantines straining
πολλοὺς μὲν συνέβαινε διαφθείρεσθαι, ἄλλους ὑπὲρ τειχῶν
many indeed it-happened to-perish others over walls
ἑαυτοὺς ἔξω ῥίπτειν βιαζομένους. οἱ δὲ καὶ δώροις
themselves outside to-throw forcing they and also with-gifts
ἔπειθον τοὺς ἐπὶ τῶν πυλῶν φύλακας κρύβδην ἐξιέναι
persuaded those at the gates guards secretly to-go-out
τῆς πόλεως. Κωνσταντῖνος δὲ ἅπαντας εὐμενῶς ἐδέχετο
of-the city Constantine and all kindly received
καὶ περιεποιεῖτο μάλιστα. αὖθις οὖν Νικήτας ἐπιστρατεύει
and secured greatly again then Nicetas campaigns
καὶ μέχρι Χρυσοπόλεως παραγίνεται. Κωνσταντῖνος
and as-far-as Chrysopolis arrives Constantine
δὲ πάλιν αὐτῷ ἐπιτίθεται καὶ κατὰ τὴν Νικομηδέων
but again him attacks and at the of-the-Nicomedians

καταλαμβάνει πόλιν, καὶ αὐτὸν μὲν χειρωσάμενος
catches city and him indeed having-subdued
σιδήροις ἐδέσμει, Μαρκελλίνου δὲ τοῦ συνόντος αὐτῷ
with-irons bound of-Marcellinus and the being-with him
ἀρχιερέως τῆς Γαγγρηνῶν μητροπόλεως τὴν κεφαλὴν
high-priest of-the of-the-Gangrenes metropolis the head
ἐξέτεμε. κἀκεῖθεν ἐπανελθὼν παραλαμβάνει τὸ Βυζάντιον.
cut-off and-thence having-returned takes-over — Byzantium
Ἀρτάβαζος δὲ ἀποδρὰς πρὸς τὴν ἐν Βιθυνίᾳ Νίκαιαν
Artabasdos and having-run-away to the in Bithynia Nicaea
πόλιν διασώζεται, καὶ τοὺς ἐν αὐτῇ ἀνέπειθεν ὡς ἥκοι
city gets-safe and those in it persuaded that he-had-come
στρατολογήσων καὶ δύναμίν τινα ἐκεῖ περιβαλλόμενος. ἐξ
going-to-levy-troops and force some there gathering from
ὧν ὀλίγους στρατιώτας προσλαβὼν ἐπὶ τὸ φρούριον τὸ
whom few soldiers having-taken-on to the fortress the
λεγόμενον Πουζάνης ἀπιὼν ἐγκατακλείεται. Κωνσταντῖνος
called Pouzanes departing shuts-himself-up Constantine
δὲ ἀπόμοιραν εἰς δίωξιν αὐτοῦ ἐκπέμψας αὐτόν τε
and a-detachment for pursuit his having-sent-out him both
χειροῦται, καὶ σὺν τοῖς υἱέσιν αὐτοῦ δεσμώτας ἐπὶ
subdues and with the sons his as-prisoners at
ἀγῶνος ἱππικοῦ ἕλκων θριαμβεύει ἐκεῖθέν τε ἐν εἱρκτῇ
a-contest of-horses dragging leads-in-triumph thence and in prison
τηρεῖσθαι ἀσφαλῶς παραδέδωκεν. οὐ πολὺ δὲ τὸ ἐν
to-be-kept securely has-delivered not much and the in
μέσῳ, καὶ Σισίννιος ὁ πατρίκιος τυραννίδα ἐφωράθη κατὰ
between and Sisinnius the patrician usurpation was-detected against
Κωνσταντίνου μελετήσας, ἐφ᾽ ᾗ διαγνωσθεὶς τοὺς
Constantine having-planned at which having-been-discovered the

ὀφθαλμοὺς ἐκκόπτεται. μετὰ ταῦτα δὲ καὶ Ἀρτάβαζος
eyes is-cut-out after these-things and both Artabasdos
καὶ οἱ αὐτοῦ υἱοὶ τῇ αὐτῇ τιμωρίᾳ ᾐκίσθησαν.
and the his sons with-the same punishment were-maltreated
Ταῦτα οὕτω τὰ τῆς ἰδίας ἀρχῆς διαθεὶς Κωνσταντῖνος
these-things thus the of-the own rule having-arranged Constantine
μετὰ χρόνον οὐ πολὺν κατὰ τὴν χώραν τῶν Σαρακηνῶν
after time not long against the country of-the Saracens
ἐκστρατεύει, ὧν εἷλε πόλιν Γερμανίκειαν τῆς Εὐφρατησίας
campaigns of-whom he-took the-city Germanikeia of-the Euphratesian
χώρας. εἰσπίπτει δὲ κατὰ τὴν βασιλεύουσαν καὶ τὰς κύκλῳ
country falls-upon and on the reigning-city and the around
χώρας, καὶ καθ' οὓς τόπους τὸ φθοροποιὸν ἐπεφύετο
lands and in which places the destructive fastened
πάθος, ἅπαν ἀνθρώπων γένος ἐπινεμόμενον διώλλυέ τε
affliction every of-men kind spreading destroyed both
καὶ ἄρδην ἐξηφάνιζε. διεσώθη δ' ἄν τις θείᾳ πάντως
and utterly made-vanish was-saved and — one by-divine by-all-means
βουλήσει, ὅστις ὡς πορρωτάτω τούτων τῶν χωρῶν
will whoever as farthest from-these the places
ἀπέδρα. ἐπετείνετο δὲ τὰ τῆς φθορᾶς μάλιστα περὶ τὸ
ran-away was-intensified and the-things of-the destruction most about —
Βυζάντιον. τεράστια δ' οὖν καὶ δείματα ἐξαπίνης ἐφαίνετο·
Byzantium portents and then and terrors suddenly appeared
(τύποι σταυροειδεῖς ἔν τε ταῖς τῶν ἀνθρώπων στολαῖς καὶ
marks cross-shaped on both the of-the men robes and
τῶν ἱερῶν ἐσθημάτων ἐπανατέλλοντες, θύραις τε ὡσαύτως
of-the holy vestments rising-up on-doors both likewise
καὶ τοῖς τῶν θυρῶν σταθμοῖς,) ἃ δὴ φαινόμενα φρίκην
and on-the of-the doors posts which indeed appearing shuddering
μεγάλην καὶ ἀπορίαν πᾶσιν ἐνέτικτεν ὡς παραχρῆμα τὸν
great and perplexity in-all begot as at-once the

ὄλεθρον μηνύοντα ἔσεσθαι. ὥσπερ δὲ ἐξεστηκότες τῷ
ruin announcing to-be as and beside-themselves with-the
δέει οἱ ἄνθρωποι καὶ φαντασιούμενοι ἐδόκουν αὐτοῖς ὡς
fear the men and having-fantasies seemed to-themselves as
ξένοις τισὶ συνοδεύειν καὶ εἰδεχθέσιν ἀνθρώποις, καὶ εἶτα
with-strange some to-travel-with and loathsome men and then
ὡς γνωρίμοις δῆθεν τοῖς ἐντυγχάνουσι προσαγορεύοντες,
as acquaintances forsooth those meeting addressing
καὶ τὰ πρὸς τὴν ὁδὸν ὡμιλημένα ἑτέροις ἔπειτα
and the-things on the road conversed to-others afterward
ἀφηγούμενοι· καὶ ἄλλοι φάσμασί τισιν ἐκδειματούμενοι
relating and others by-apparitions some being-terrified
ἑώρων ξίφεσιν ἀλλήλους τινὰς βάλλοντας. καὶ δὴ οὕτω
saw with-swords one-another some striking and indeed thus
τὰ πλεῖστα ἐξέβαινεν. οὐδὲ οἷοί τε ἦσαν οἱ περισωζόμενοι
the most came-about not-even able — were those surviving
τῶν ἀποιχομένων ταφῇ παραδιδόναι τὰ σώματα καὶ τὴν
of-the departed to-burial to-deliver the bodies and the
ὁσίαν ἐπ᾽ αὐτοῖς ποιεῖσθαι, ὀλιγοστοὶ μάλα πλείστους
rite over them to-perform very-few indeed very-many
ἄγαν ἐκκομίζοντες. διὸ μηχανὰς ἔκ τινος περινοίας
exceedingly carrying-out wherefore contrivances from some ingenuity
κατεσκεύαζον, σεσαγμένοις τοῖς ἀχθοφόροις ζῴοις σανίδας
they-made on-the-saddled the burden-bearing animals boards
ἐπιστρωννύντες καὶ ἐπὶ μέγα τι χωρίον ἀπευρύνοντες τὸ
laying and to a-great some space broadening the
μηχάνημα, οὕτω τε τὰ πλεῖστα τῶν πτωμάτων ἀκόσμως
contrivance thus and the most of-the corpses disorderly
καὶ ὡς ἂν ἔτυχεν ἐπετίθεσαν. ἤδη δὲ καὶ ἅμαξαι πρὸς τὴν
and as — it-happened placed already and also wagons for the
ἐκφορὰν τοῦ πλήθους τῶν νεκρῶν φορούμεναι ὑπηρέτουν,
carrying-out of-the multitude of-the dead being-borne served

τῶν ὑποζυγίων αὐτοῖς μὴ ἐπαρκεῖν ἔτι δυναμένων.
the beasts-of-burden for-them not to-suffice any-longer being-able
ἐπιλελοίπασι δὲ εἰς ἄπαξ καὶ οἱ τάφοι, ὥστε καὶ τὰς
failed and at once also the tombs so-that even the
ἀνύδρους τῶν δεξαμενῶν νεκρῶν ἐμπλησθῆναι σωμάτων.
waterless of-the cisterns with-dead to-be-filled bodies
ἄρουραι δὲ ἀνετέμνοντο καὶ ἀμπελῶνες διωρύσσοντο καὶ
fields and were-cut-up and vineyards were-dug-through and
κῆποι διεσκάπτοντο πρὸς τὴν τῶν ἀπείρων σωμάτων
gardens were-dug-up for the of-the countless bodies
ταφὴν καινοτομούμενοι. ἐξ ὧν συνέβαινε τοὺς πλείονας
burial newly-opened from which it-happened the most
τῶν οἴκων κατακλείστους πάμπαν γίνεσθαι. παρέτεινε δὲ
of-the houses shut-up altogether to-become lasted and
τὰ τῆς θραύσεως μέχρις ἐνιαυτοῦ, καὶ ἐξ ἐκείνου
the-things of-the plague up-to a-year and from that
ἐνεδίδου τὰ πλεῖστα, καὶ κατὰ μικρόν, ὥσπερ τὴν ἀρχὴν
slackened the most and by little as the beginning
ηὔξανεν, οὕτω δὴ καὶ ἐλώφησεν ἡ φθορά. ταῦτα
it-increased thus indeed also abated the destruction these-things
ἐκρίνετο τοῖς ὀρθὰ φρονεῖν εἰδόσιν ἐκ θείας ἐπισκήπτειν
were-judged by-those right to-think knowing from divine to-fall
ὀργῆς, ἡνίκα ὁ τότε ἀθέως καὶ δυσσεβῶς κρατῶν, καὶ
wrath when the then godlessly and impiously ruling and
ὅσοι αὐτῷ συνῄνουν τῷ ἀθέσμῳ φρονήματι, τὰς
as-many-as with-him agreed in-the lawless mind the
χεῖρας ἐπαφεῖναι κατὰ τῶν ἁγίων ἀπεικονισμάτων εἰς
hands to-lay against the holy images to
ὕβριν τῆς τοῦ Χριστοῦ ἐκκλησίας τετολμήκασιν.
outrage of-the — of-Christ church have-dared

Ἐντεῦθεν τοίνυν ἀοίκητον σχεδὸν ἤδη γεγονυῖαν τὴν
thence therefore uninhabited almost already having-become the
πόλιν ταύτην κατοικίζει ἐκ τῶν χωρῶν καὶ τῶν νήσων
city this he-peoples from the lands and the islands
τῆς ὑπὸ Ῥωμαίοις ἐξουσίας λαῶν πλήθη μετάγων. ὑπὸ
of-the under the-Romans authority of-peoples multitudes transferring under
δὲ τοῦτον τὸν χρόνον στόλον ἐκπέμπει κατὰ τῆς τῶν
and this the time a-fleet he-sends-out against the of-the
Σαρακηνῶν χώρας, οὗ ἡγεῖτο ὁ τηνικαῦτα στρατηγῶν
Saracens country which led the at-that-time commanding
τῶν Κιβυραιωτῶν καλουμένου στρατοῦ. καθορμίζεται δὲ
of-the Kibyrrhaiotai called army anchors and
ὁ στόλος κατὰ τὴν Κύπρον νῆσον. ἔνθα αὐτίκα μάλα
the fleet at the Cyprus island there at-once indeed
κατῆρεν ἐκ τῆς Ἀλεξάνδρου πόλεως καὶ τῶν Σαρακηνῶν
put-in from the of-Alexander city also of-the Saracens
πλοΐμον. ὅπερ ὁ στρατηγὸς προαισθόμενος ἐξαπιναίως
a-fleet which the general having-perceived-beforehand suddenly
εἰσπίπτει κατ᾽ αὐτοῦ πυρί τε διαφλέξας τὰς ναῦς τὰ
falls upon it with-fire and having-burned the ships the-things
αὐτῶν σφετερίζεται ἅπαντα, καὶ κατὰ κράτος ἑλὼν
their appropriates all and by force having-overcome
τοὺς πολεμίους πρὸς Κωνσταντῖνον ὑπενόστει.
the enemies to Constantine returned
Μετὰ ταῦτα τίκτεται τῷ βασιλεῖ υἱός, ὃν Λέοντα
after these-things is-born to-the emperor a-son whom Leo
ἐπωνόμασε. τηνικαῦτα καὶ ἐν Συρίᾳ σεισμὸς μέγας γίνεται
